recentes in ipsorum locum succedebant; cum quibus oppidani totum diem dimicantes, et ne noctis quidem intermissione data, defatigati tandem muros deserere sunt coacti. Marcius, hac quoque vrbe capta, oppidanos in seruitutem abstraxit, militibusque praedam inter se diuidere permisit. Et motis inde castris, Pedum vrbem (erat autem et ipsa nominis Latini) instructa acie petiit; eamque, simulatque ad muros appropinquauit, vi cepit. Et quum eam eodem modo, quo et alias ante captas tractasset, postero die, mane statim inde motis castris, copias Corbionem duxit. Sed ei, ad muros appropinquanti, oppidani, apertis portis effusi, supplices obuiam venerunt, vrbemque sine vllo proelio ei dediderunt. Quum autem eos laudasset, quod rebus suis optime consuluissent, ipsis imperauit, vt res exercitui necessarias, pecuniam et frumentum, afferrent. Atque vbi, quaecunque

a Καὶ ἀδὲ τὸν τῆς νυκτὸς *Vat.* vulgatis deest τὸν.

b Male in *Ed. Steph.* Πελανῶν, vt constat ex aliis *Dionysii* locis, *Liuio*, et *Steph. Byzant.*

c Post συντεταγμένην desideratur participium ἔχων, vt indicat etiam *Lapi* versio, *instructum habens exercitum. Sylb.* Optime in *Cod. Vat.* συντεταγμένην τὴν στρατιὰν ἔχων ἀφικνεῖται.

d Κατεσκα-

ἔταξεν, ἀπῆγε τὴν δύναμιν ἐπὶ τὴν Κοριολανῶν πόλιν. παραδόντων δὲ κἀκείνην τῶν ἔνδον ἀμαχητὶ, καὶ ὡς μετὰ πολλῆς προθυμίας ἀγορᾶς τε παρασχόντων τῇ δυνάμει, καὶ χρήματα, καὶ ὅσα ἄλλα ἐπετέτακτο αὐτοῖς, ἀπῆγε τὴν στρατιὰν, ὡς διὰ φιλίας γῆς. πάνυ γὰρ καὶ τοῦτο ἐσπούδαζεν, ὡς μηδὲν οἱ παραδιδόντες αὐτοῖς τὰς πόλεις πάθοιεν, ὧν φιλεῖ δρᾶν ὁ πόλεμος, ἀλλὰ καὶ γῆν ἀδήωτον ἀπολαμβάνοιεν, καὶ βοσκήματα, καὶ ἀνδράποδα, ὅσα κατέλιπον ἐπὶ τῶν κλήσεων, κομίζοιντο. αὐλίζεσθαί τ' ἐκ εἶα τὴν δύναμιν ἐν ταῖς πόλεσιν, ἵνα μή τι γένηται δι' ἁρπαγῆς πρὸς αὐτῶν ἢ κλοπῆς κακὸν· ἀλλὰ παρὰ τοῖς τείχεσι [d] κατεστρατοπέδευεν.

XX. Ἀπὸ δὲ ταύτης ἀναστήσας τῆς πόλεως, ἤλαυνε τὸν στρατὸν ἐπὶ [e] Βολάς, ἐπιφανῆ τε τότε ὄσαν, καὶ

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat. V.C.* 266. *Var.* 268.

cunque imperarat, accepit, inde copias Coriolos duxit. Quum autem oppidani illam quoque vrbem sine pugna dedidissent, et ingenti alacritate commeatus exercitui praebuissent, et pecunias, et quicquid aliud fuerat ipsis imperatum, exercitum abduxit, tanquam per amicorum agrum. Hoc enim ei magnae curae erat, vt nullum eorum malorum, quae bellum afferre solet, populi, qui vrbes sibi dedebant, paterentur; sed et agrum intactum, et pecus, et mancipia, quae in agris reliquerant, reciperent. nec sinebat copias suas in eorum oppidis stationem habere; nè quid mali, vel ob earum rapinas, vel furta, accideret; sed ad muros castra ponebant.

Inde autem motis castris exercitum duxit ad Bolas, vrbem tunc nobilem, * et rei militaris peritia nulli Latinae

d Κατεστρατοπέδευον] Rectius, vt arbitror, in *Cod. Vat.* κατεστρατοπέδευεν. quod verbo εἶα commode respondet, et ad Marcium satis apte referri potest; vt obseruauit *Portus*.

* Et inter paucissimas Latini generis exquisitam. *Lapus*. Et vnam e primariis Latini generis ciuitatibus numero perexiguis. *Gelen*.

e Βολὰς seu Βωλὰς (vt *Rom. Cod.* habet) agnoscit etiam *Lapi* versio. Sed (cum *Gelenio*, *Glareano*, et *Sigonio*) malim Βοΐλλας: praesertim quum a *Stephano* quoque Βοΐλλαι, cum gentili Βοΐλλανος, citetur e *Dionysii* nostri

[f] ἐν ὀλίγαις πάνυ ταῖς ἡγεμέναις [g] τῶ Λατίνων γένως πόλεσιν ἐξεταζομένην. ὁ προσδεξαμένων δ' αὐτὸν τῶν ἔνδον, ἀλλὰ [h] τῷ τ' ἐρύματι πιστευόντων ἐχυρῷ γε σφόδρα ὄντι, καὶ τῷ πλήθει τῶν ἀπ' αὐτῆ μαχησομένων, παρακαλέσας τὴν δύναμιν ἀγωνίζεσθαι προθύμως, καὶ τοῖς πρώτοις [i] ἐπιβᾶσι τῆ τείχως μεγάλας δωρεὰς ὑποσχόμενος, ἔργω εἴχετο· καὶ γίνεται περὶ ταύτη τῇ πόλει μάχη καρτερά. ὁ γὰρ μόνον ἀπὸ τῆ τείχως ἠμύνοντο

tinae gentis populo secundam. Quum autem oppidani eum non recepissent, sed firmis munitionibus et propugnatorum numero freti essent, is suos milites ad alacriter dimicandum cohortatus, et iis, qui primi euasissent, in moenia ampla praemia pollicitus, rem est aggressus: atque ad hanc vrbem acriter pugnatum est. Bolanis enim non satis fuit hostes accedentes a muris

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat. V.C.* 266. *Var.* 268.

nostri lib. VIII. et Βοϊλλανῶν mentio fuerit supra in Latinorum oppidorum catalogo, p. 312. v. 29. Hanc sententiam firmat, quod apud *Plutarchum* exstat paullo integrius, vna tantum litera mutilatum, Βόλλαι. *Sylb.* Ac sane quis dubitare poterat, legendum esse Βοΐλλαι, quum iam antea *Dionysius* narrauerit, Marcium a Circaeis cepisse Τολερίνως καὶ Βωλανούς: post quae oppida Labicos deinceps, Pedum, Corbionem, Coriolos, et tandem hasce Βοΐλλας petiit. Hoc tamen scrupulum mihi inijcit, priore, an posteriore loco id scripserit *Dionysius*, quod istud κατὰ τὸ πρανὲς p. 475. v. 20. et p. 476. v. 37. in Bouillas non conuenit, vt quae plano loco in via Appia sitae fuerint. *Cluuer.* Ital. Antiq. l. III. c. 4. p. 919.

f Ita in *Cod. Rom.* [et *Var.*] quum antea editum fuerit ἐν ὀλίγῳ πάνυ ταῖς ἡγεμονίαις τῶ Λατίνων γένως πόλεμον ἐξεταζομένην. vnde legendum coniecerat *Portus*: ἐν ὀλίγαις πάνυ ταῖς ἡγεμονίαις τῶ Λατίνων γένως κατὰ πόλεμον ἐξεταζομένην, vel πρὸς ὀλίγας πάνυ ταῖς ἡγεμονίαις etc.

g Τῶν Λατίνων ἐθνως in *Cod. Rom.* exiguo sensus discrimine. *Sylb.*

h Τῷ ἐρύματι πιστευόντων ἐχυρῷ τε ὄντι] Malim τῷ τε ἐρύματι πιστευόντων ἐχυρῷ ὄντι, καὶ τῷ πλ. *Sylb.* Optime in *Cod. Vat.* τῷ τε ἐρύματι πιστευόντων ἐχυρῷ γε σφόδρα ὄντι.

i Ἐπιβαλῶσι] Rectius ἐπιβαίνωσι, vt p. 475. v. 43. vel ὑπερβαλῶσι. *Sylb.* Ἐπιλαβῶσι malit *Port.* Verum *Sylburgii* coniecturam feliciorem esse ostendit *Cod. Vat.* qui habet ἐπιβᾶσι τῆ τείχως. quo modo legisse visus est *Lapus*, dum vertit: *qui primi muros inuaderent.*

k Malim

τὰς προσιόντας οἱ [k] Βωλανοὶ, ἀλλὰ καὶ [l] τὰς πύλας ἀνοίξαντες ἐξέθεον ἀθρόοι, καὶ κατὰ τὰ πρανῆ ἐώθων βία τοὺς [m] ἐφισαμένους· φόνος τε πλεῖστος αὐτόθι τῶν Οὐολσκων ἐγένετο, καὶ χρόνος τῆς τειχομαχίας πολὺς, τό τε κρατήσειν τῆς πόλεως ἄπορος ἅπασιν ἡ ἐλπίς, ἀλλὰ τῶν ἀπολλυμένων ἄδηλον ἐποίει τὴν ἀπουσίαν ὁ στρατηγὸς, ἀντικαθιστὰς ἑτέρους· τῶν δὲ καμνόντων παρεθάρρυνε τὴν προθυμίαν, ἐπὶ τὸ πονοῦν μέρος τῆς στρατιᾶς αὐτὸς ὠθέμενος. ἦν τ' ἐχ ὁ λόγος αὐτὸς μόνον ἐπαγωγὸς ἐπὶ τὸ εὔψυχον, ἀλλὰ καὶ τὰ ἔργα. πάντα γὰρ ὑφίστατο κίνδυνον, καὶ ἀδεμιᾶς πείρας ἀπελείφθη, ἕως ἑάλω τὸ τεῖχος. κρατήσας δὲ καὶ ταύτης σὺν χρόνῳ τῆς πόλεως, καὶ τῶν ἁλόντων τοὺς μὲν ἐν χειρῶν νόμῳ διαφθείρας, τοὺς δ' αἰχμαλώτους λαβὼν, ἀπῆγε τὴν δύναμιν, ἐπιφανεστάτην νίκην ἐξενεγκάμενος, καὶ λάφυρα κάλλιστα καὶ πλεῖστα ἄγων, χρήμασί τε παμπόλλοις,

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

a muris repellere; sed etiam apertis portis conferto agmine eruptionem fecerunt, aduersosque per decliuia loca vi depulerunt: ibique maxima Volscorum caedes facta, et oppugnatio diuturna fuit, vrbisque expugnandae tenuem spem omnes habebant. Sed imperator, in cadentium locum alios substituens, efficiebat, ne militum caesorum *absentia cognosceretur: alacritatem autem eorum, qui ab hoste premebantur, ipsemet, partem exercitus laborantem adeundo, confirmabat: nec verbis tantum, sed etiam factis, exemploque suo ad fortitudinem eos impellebat. Nam quoduis periculum subibat, et nihil intentatum reliquit, donec vrbs expugnata esset. Hoc quoque oppido tandem potitus, postquam oppidanos expugnatos partim iure belli interfecit, partim viuos cepit, victoria maxime insigni relata, exercitum, pulcherrimis plurimisque spoliis onustum, permultisque pecuniis,

k Malim Βοϊλλανοί. quo modo, vel Ἀβολανοὶ, ex *Plinio* legendum censuit *Glareanus*. *Sylb.*

l Τὰς πύλας ἐξέθεον ἀνοίγοντες] Planiore verborum ordine lege, τὰς πύλας ἀνοίγοντες, ἐξέθεον ἀθρ. *Sylb.*

m Rectius forsan ὑφισαμένους, vt p. 477. v. 3. *Sylb.*

* i. e. numeri diminutio.

n Melius

ὧν ἐγκρατὴς ἐγένετο· ἦν δ' αὐτόθι, ὅσα ἐν ἑδενὶ τῶν ἁλόντων χωρίων· πλουτίσας τὴν στρατιάν.

Μετὰ τοῦτο χώρα τε, ὅσην διαπορεύοιτο, ὑποχείριος ἦν, καὶ πόλις ἑδεμία ἠναντιοῦτο ἔξω Λαβϊνίου, ἣν πρώτην τε πόλιν οἱ σὺν Αἰνείᾳ κατάραντες εἰς Ἰταλίαν Τρῶες ἔκτισαν, καὶ ἀφ' ἧς τὸ Ῥωμαίων ἦν γένος, ὡς καὶ πρότερόν μοι δεδήλωται. οἱ δ' ἐν ταύτῃ κατοικοῦντες, [n] πάντα πρότερον ᾤοντο δεῖν ὑπομένειν, ἢ τὸ πρὸς τοὺς ἀπογόνους σφῶν πιστὸν ἐγκαταλιπεῖν. ἐγένοντο μὲν οὖν καὶ τειχομαχίαι τινὲς αὐτόθι καρτεραὶ, καὶ πρὸ τῶν ἐρυμάτων ὀξεῖαι μάχαι. ἃ μὴν ἑάλω γε τὸ τεῖχος [o] κατὰ κράτος τῇ πρώτῃ ἐφόδῳ, ἀλλ' ἐδόκει χρόνου δεῖν τῇ πολιορκίᾳ καὶ τριβῆς. ἀποσὰς ἔν τῆς πολιορκίας ὁ Μάρκιος, [p] περιετάφρευσε κύκλῳ τὴν πόλιν καὶ ἀπεσαύρωσε, τὰς ὁδοὺς φυλάττων, ἵνα μήτ' ἀγορὰ, μήτ' ἐπικουρία

cuniis, quas adeptus fuerat, (ibi enim, quanta in nulla alia captarum vrbium, copia inuenta est) ditatum abduxit.

Postea quacunque iter fecisset, ager erat in eius potestate; nec oppidum vllum ei resistebat praeter Lauinium, quam vrbem primam Troiani Aeneae socii, quum ad Italiam appulissent, condiderunt, vnde Romani originem ducebant, vt ante declaraui. Eius igitur incolae quiduis potius sibi perferendum, quam fidem erga suos nepotes deserendam putabant. Ibi igitur aliquoties in oppugnationibus acriter pugnatum est, proeliaque atrocia pro munitionibus facta. Verumtamen haud primo impetu vrbs expugnata est: sed obsidio et mora indigere ac diuturna fore videbatur. Marcius igitur, obsidione omissa, vrbem fossa valloque circumdedit, vias obseruans, ne quis commeatus, aut auxilia externa

n Melius in *Cod. Vat.* πάντα πρότερον ᾤοντο δεῖν ὑπομένειν, ἢ τὸ πρὸς τοὺς προγόνους σφῶν Ῥωμαίους πιστὸν ἐγκαταλιπεῖν. atque eodem plane modo *Lapus*, qui vertit: *esse potius omnia omnino gravia sustinenda, quam in nepotes suos Romanos fidem relinquendam:* nisi quod forsan ἀπογόνους pro προγόνους legerit, vt existimant *Sylb.* et *Port.* Loco v. πρότερον est in vulgatis τρόπον.

o Ἀπὸ κράτους *Vat.*

p Rectius περιετάφρευσε: eodem scilicet tempore, quo sequitur ἀπεσαύρωσε. *Sylb.*

τις [q] αὐτοῖς ἔξωθεν προσγένηται. Ῥωμαῖοι δὲ τῶν τε [r] κεκρατημένων ἤδη πόλεων τὸν ὄλεθρον ἀκούοντες, καὶ τῶν [s] προσεθειμένων τῷ Μαρκίῳ τὴν ἀνάγκην, ταῖς τε πρεσβείαις ἐνοχλέμενοι ταῖς ἀφικνεμέναις ὡς αὐτὲς ὑσημέραι παρὰ τῶν μενεσῶν ἐν τῇ Φιλίᾳ, καὶ δεομένων βοηθείας, τῇ τε Λαϊνίᾳ τὸν περιτειχισμὸν ὀρρωδέντες ἐν χερσὶν ὄντα, καὶ εἰ τόδε τὸ Φρέριον ἁλώσεται, τὸν πόλεμον ἐπὶ σφᾶς ἥξειν εὐθὺς οἰόμενοι, μίαν ὑπέλαβον ἔσεσθαι ἀπάντων τῶν κακῶν λύσιν, εἰ ψηφίσαιντο τῷ Μαρκίῳ τὴν κάθοδον. καὶ ὅ τε δῆμος [t] ἅπας ἐβόα τᾶτο, καὶ οἱ δήμαρχοι νόμον εἰσφέρειν ὑπὲρ ἀκυρώσεως τῆς καταδίκης ἐβάλοντο· ἀλλ' οἱ πατρίκιοι ἠναντιώθησαν αὐτοῖς, ἀκ ἀξιῶντες τῶν δεδικασμένων λύειν ἀθέμις. μὴ γενομένε δὲ προβελεύματος ὑπὸ τῆς βελῆς, ἀδὲ τοῖς δημάρχοις ἔτι [u] προθεῖναι γνώμην εἰς τὸν δῆμον ἐδόκει. ὃ καὶ θαυμάζειν ἄξιον, ἀφ' ἧς δήποτ' αἰτίας ἡ βελὴ

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

externa ad illos venirent. Romani vero, quum tot vrbium iam captarum excidium audirent, aliarumque necessitatem, qua compulsae Marcio se adiunxerant, fatigati quotidianis legationibus ad se missis a ciuitatibus in amicitia permanentibus et auxilia implorantibus, ad haec praesenti Lauinii circumullatione territi, et, si hoc oppidum caperetur, arma statim in se conuersum iri existimantes, vnum omnium malorum remedium fore credebant, si Marcio reditus in patriam decerneretur. et tota plebs vociferabatur, tribunique legem de abroganda eius damnatione ferri cupiebant: sed patricii illis aduersabantur, quia nihil, quod semel fuisset iudicatum, irritum fieri volebant. Quum autem nullum senatusconsultum factum fuisset, ne tribuni quidem rem amplius ad populum referendam existimarunt. quod sane mirandum est, curnam senatus, qui antea

Marcii

q Pro αὐτῶν legendum potius αὐτῇ, vel αὐτοῖς. *Sylb.*

r Κεκρατημένων ἤδη πόλεων *Vat.* vulgo κεκρ. πόλεων ἤδη.

s Προσθεμένων *Vat.*

t Ἅπας ἐβόα τᾶτο, καὶ οἱ *Vat.* Pronomen abest a vulgatis.

u Προσθεῖναι supra quoque in simili loquendi genere legitur p. 429. v. 4. Sed alibi frequentius προθεῖναι. *Sylb.* Προθεῖναι in *Cod. Vat.*

x Non

σπεδάζσα τὸν [x] ἔμπροσθεν χρόνον ὑπὲρ τᾶ Μαρκίε τότε βελομένῳ τῷ δήμῳ κατάγειν αὐτὸν, ἠναντιώθη· πότερα πεῖραν αὐτᾶ ποιεμένη τῆς γνώμης, ἢ τῷ μὴ συγχωρεῖν [y] ἑκάστῳ ἑτοίμως, ἐπὶ τὸ μᾶλλον αὐτὸν σπεδάζειν παρορμῶσα, ἢ [z] τὰς καθ' ἑαυτῆς ἀπολύσασθαι βελομένη διαβολὰς ὑπὲρ τᾶ μηδενὸς, ὧν ἔπρατ]εν ὁ ἀνὴρ, μήτε αἰτία, μήτε συνεργὸς εἶναι. χαλεπὸν γὰρ ἦν ἀπόῤῥητον αὐτῆς γενόμενον τὸ βέλευμα συμβαλεῖν.

Ἀκέσας δὲ ταῦτα παρ' αὐτομόλων τινῶν ὁ Μάρκιος, ὡς εἶχεν ὀργῆς, εὐθὺς ἀναςήσας τὴν δύναμιν, ἦγεν ἐπὶ τὴν Ῥώμην, Φυλακὴν τᾷ Λαϊνίᾳ τὴν ἀρκέσαν καταλιπών· καὶ αὐτίκα τῆς πόλεως [a] ςαδίας τετ]ακόντα ἀποσχών, κατεςρατοπέδευσε περὶ τὰς καλεμένας [b] Κλοιλίας τάφρας. μαθόσι δὲ τὴν παρεσίαν αὐτᾶ [c] τοῖς κατὰ τὴν πόλιν τοσᾶτος ἐνέπεσε θόρυβος,

XXII.

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

Marcii adeo studiosus erat, tunc tamen plebi eum reducere volenti aduersatus fuerit: vtrum *id fecerit*, vt animos eius exploraret; an vt magis eius desiderium accenderet, si se facilem quibuslibet eius postulatis non praeberet; an quod vellet crimina sibi falso obiecta diluere, vt ita se nullius facinoris ab illo patrati aut auctorem, aut socium fuisse fidem faceret, *incertum est.* difficile enim erat secretum eius consilium assequi coniectura.

Marcius autem, his per quosdam transfugas cognitis, vt erat iratus, statim motis inde castris, Romam cum copiis contendit, exercitus parte, quanta opus erat, ad Lauinii custodiam relicta; et mox ad fossas Cluilias, circiter stadia quadraginta ab vrbe distantes, castra posuit. Cuius aduentu in vrbe cognito, maximus

x Non agnoscit *Vat.* τε, illudque vel redundare, vel in γε mutandum esse censuit *Sylb.*

y Pro ἑκάστῳ aptius legas αὐτῷ, vel αὐτό. *Sylb.* Vocabulum hoc plane omittit *Vat.*

z Τὰς ἴσας καθ' ἑαυτῆς *Vat.*

a Pro ταδίας τετ]αράκοντα *Livius* habet *quinque millia passuum.* recte. nam mille vnum facit octo stadia, vt testatur *Plutarchus* in Gracchis. *Sylb.*

b Κλυίας *Vat.*

c Τοῖς κατὰ τὴν πόλιν *Vat.* quo modo legendum esse monuerunt *Sylb.* et *Port.* articulo τοῖς carent vulgatae.

ὡς αὐτίκα [d] τοῖς τείχεσι τῷ πολέμῳ προσάξοντος. ὥστε οἱ μὲν ἐπὶ τὰ τείχη, τὰ ὅπλα λαβόντες, ἔθεον ἄνευ παραγγέλματος· οἱ δ' ἐπὶ τὰς πύλας κατὰ πλῆθος ἐφέροντο χωρὶς ἡγεμόνος· οἱ δὲ, τὰς δύλας καθοπλίσαντες, ἐπὶ τοῖς [c] τέγεσι τῶν οἰκιῶν [f] ἔστησαν· οἱ δὲ τήν τ' ἄκραν καὶ τὸ Καπιτώλιον, καὶ τὰς ἄλλας ἐρυμνὰς τόπους τῆς πόλεως κατελαμβάνοντο· γυναῖκές τε λελυμέναι τὰς κόμας, ἐπὶ τὰ τεμένη καὶ τὰς νεὼς ἔθεον, ὀλοφυρόμεναί τε καὶ δεόμεναι τῶν θεῶν, ἀποστρέψαι τῆς πόλεως τὸν ἐπιόντα [g] φόβον. ὡς δὲ ἥ τε νὺξ παρῆλθε, καὶ τῆς ἐπιούσης ἡμέρας τὸ πλεῖστον, καὶ ὧν ἐδεδοίκεσαν ἀδὲν ἐγίνετο, ἀλλ' ἔμενεν ὁ Μάρκιος ἐφ' ἡσυχίας, συνέδραμον ἅπαντες εἰς τὴν ἀγορὰν οἱ δημοτικοὶ, καὶ τὰς πατρικίας ἐκάλων εἰς τὸ βουλευτήριον· καὶ εἰ μὴ

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat. V.C.* 266. *Var.* 268.

maximus exortus est tumultus, quasi iamiam moenia essent oppugnanda. quare alii ad muros correptis armis nullius iussu currebant; alii ad portas conglobati sine duce ferebantur; alii seruis armatis ad parietes domesticos stabant; alii * arcem Capitolinam et caetera loca vrbis munita occupabant: et mulieres solutis crinibus ad delubra templaque currebant, lugentes, et suppliciter a diis petentes, vt imminens periculum ab vrbe auerterent. Sed quum nox illa praeteriisset, et diei sequentis maxima pars, et eorum, quae timuerant, nihil accidisset, sed Marcius quiesceret, nec quidquam moueret, omnes plebeii in forum concurrerunt, et patricios in curiam vocarunt; et nisi reditum

d Malim τὸν πόλεμον προσάξοντος, sc. Μαρκίυ. sic enim *Dionysius*, de eodem Marcio verba faciens, alibi loquitur, εἰ τολμήσειε προσάγειν τοῖς τείχεσι τὸν πόλεμον. *Port.*

e Τείχεσι] Quod τείχη priuatis aedibus tribui non soleant, *Lapus* legit ἐπὶ τοίχοις, *super parietes aedium.* Sed procul dubio legendum ἐπὶ τέγεσι, *super tectis*, vt alibi loquitur *Dionysius* noster. *Sylb.*

f In *Cod. Vat.* ἵστασαν.

* Rectius *Lapus*, qui vertit *arcem et Capitolium.* quum non vnicam fuisse ἄκραν ostendat hic locus *Dionysii*; τὰς ἄκρας καὶ τὰς ἐρυμνὰς τόπους τῆς πόλεως καταλαβέσθαι. Sed hic post τήν τε ἄκραν fortasse nomen eius addiderat. *Steph.*

g Φόβον appellat periculum terroris plenum. *Port.*

h Προ-

[h] προβουλεύσωσι τῷ ἀνδρὶ τὴν κάθοδον, αὐτοὶ [i] βουλεύσεσθαι περὶ σφῶν αὐτῶν ἔφασαν ὡς προδεδομένοι. τότε δὴ συνελθόντες εἰς τὴν βουλὴν οἱ πατρίκιοι, ψηφίζονται πρεσβευτὰς πρὸς τὸν Μάρκιον ἀποστεῖλαι πέντε ἄνδρας ἐκ τῶν πρεσβυτάτων, οὓς μάλιστα ἐκεῖνος ἠσπάζετο, περὶ διαλύσεώς τε καὶ φιλίας διαλεξομένους. ἦσαν δὲ οἱ προχειρισθέντες ὑπ' αὐτῶν ἄνδρες οἵδε, [k] Μάρκος Μινύκιος, καὶ [l] Πόστμος Κομίνιος, καὶ Σπόριος Λάρκιος, καὶ Πόπλιος Πινάριος, καὶ Κόϊντος Σολπίκιος, ἅπαντες ὑπατικοί. ὡς δ' ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, καὶ ἔγνω τὴν παρουσίαν αὐτῶν ὁ Μάρκιος, καθεζόμενος ἅμα τοῖς ἐπιφανεστάτοις Οὐολούσκων τε καὶ τῶν ἄλλων συμμάχων, ἔνθα πλεῖστοι ἔμελλον [m] ἀκούσεσθαι τῶν λεγομένων, ἐκέλευσε καλεῖν τοὺς ἄνδρας. εἰσελθόντων δ' αὐτῶν, ἤρξατο τῷ λόγῳ Μινύκιος, ὁ πλεῖστα κατὰ τὸν τῆς ὑπατείας χρόνον σπουδάσας ὑπὲρ αὐτῷ, καὶ μάλιστα τοῖς δημοτικοῖς ἐναντιωθεὶς, καὶ ἔλεξε τοιάδε.

reditum homini senatusconsulto decreuissent, se sibi ipsis, vtpote proditis, consulturos dixerunt. Tunc igitur patricii, quum in curiam conuenissent, decreuerunt legatos ad Marcium mittere, quinque viros ex maximis natu, illi carissimos, vt de pace et amicitia agerent. Legatorum autem ab illis delectorum haec fuere nomina, Marcus Minucius, Postumus Cominius, Spurius Largius, Publius Pinarius, et Quintus Sulpicius, omnes viri consulares. Qui vbi ad castra venerunt, et Marcius eorum aduentum cognouit, sedens cum nobilissimis Volscorum et seniorum in eo loco, vnde maxime exaudiri possent ea, quae dicerentur, eos ad se vocari iussit. Qui quum ingressi fuissent, Minucius, qui plurimum in suo consulatu eius caussa laborarat, et plebi vehementissime aduersatus fuerat, exorsus huiusmodi habuit orationem.

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat. V.C.* 266. *Var.* 268. *Legatio ad Marcium.*

„Omnes

h Προβουλεύσωσι *Var.*

i Βουλεύεσθαι] Si βουλεύσεσθαι malis, per me licet. *Sylb.*

k Μάρκιος male in *Ed. Steph.*

l Ποστμιος *Var.*

m Ἀκούεσθαι] Optime in *Cod. Var.* πλεῖστοι ἔμελλον ἀκούσεσθαι, nec aliter in *Lapi Cod.* nam vertit: *vnde multi audituri erant, quae dicerentur.*

n Lectio-

XXIII. „Ὅτι μὲν ὲ δίκαια πέπονθας ὑπὸ τῦ δήμυ, ὦ Μάρκιε, μετ' αἰσχρᾶς αἰτίας ἐξελαθεὶς ἐκ τῆς πατρίδος, ἅπαντες ἴσμεν· καὶ ἐδὲν οἰόμεθά σε ποιεῖν θαυμαστὸν, εἰ χαλεπαίνεις καὶ ἀγανακ]εῖς ἐπὶ ταῖς τύχαις. κοινὸς γὰρ δὴ τῆς ἁπάντων Φύσεως ἔτος ὁ νόμος, ἐχθρὸν εἶναι τῷ δράσαντι τὸ πεπονθὸς κακῶς. ὅτι δ' ὲ μετὰ λογισμῦ σώφρονος ἐξετάζεις, ὃς ἀμύνεσθαί τε καὶ τιμωρεῖσθαί σοι προσήκει, ἐδὲ μετριάζεις περὶ τὴν ἀνάπραξιν τῆς δίκης, ἀλλ' ἐν τῷ αὐτῷ τίθεσαι τά τ' ἀναίτια τοῖς αἰτίοις, καὶ τὰ Φίλια τοῖς πολεμίοις, νόμυς τε κινεῖς Φύσεως ἀκινήτυς, καὶ τὰ πρὸς τὲς θεὲς συνταράτ]εις ὅσια, καὶ ἐδὲ σεαυτὸν, ἐξ ὧν τε καὶ ὅσις ἔΦυς, ἔτι μέμνησαι, τᾶτο τεθαυμάκαμεν. ἥκομέν τε ἀποσαλέντες ὑπὸ τῦ κοινῦ πρέσβεις οἱ πρᾶχοντες ἡλικία τῶν πατρικίων, καὶ περί σε προθυμότατοι, μεμιγμένην Φέροντες δικαιολογίαν παραιτήσει, [n] καὶ Φ' οἷς

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 ⅔. *Cat.* *V.C.* 266. *Var.* 268.

„Omnes ſcimus, Marci, te iniuria a plebe affectum, qui turpis criminis reus peractus patria pulſus fueris; nec putamus, mirandum eſſe, quod indigneris, et hanc aduerſam fortunam iniquo animo feras. Hoc enim communi naturae lege apud omnes eſt receptum; vt, qui iniuriam eſt paſſus, ei ſit infenſus, a quo eam accepit. Verum illud miramur, quod non recta ratione, nec prudenter inquiras, quos vlciſci et quos vindicare tibi conueniat, nec modum vllum in exigendis poenis ſerues: ſed eodem modo inſontes, quo ſontes, et amicos, quo inimicos tractes, immobileſque naturae leges violes, et iura diuina confundas, atque adeo ne recorderis quidem amplius tui ipſius, quibuſnam ortus, et quiſnam ſis. et nos e patriciis natu maximi, tuique ſtudioſiſſimi, legati a republica venimus, vt defenſionem cum deprecatione mixtam afferamus, et nunciemus, quibus

n Lectionem hanc agnoſcit etiam *Lapus*, dum vertit: *et renunciantes, quibus conditionibus poſtulemus te cum plebe inimicitiam deponere.* Locum hunc *Genius* per hypallagen verterat: *acceperitque viciſſim conditiones pacis, quas velis renunciari populo. Sylb.*

o Ἀπαγ-

ἀξιῶμέν σε διαλύσασθαι τὴν ἔχθραν πρὸς τὸν δῆμον, [o] ἀπαγγελῶντες· πρὸς δὲ τύτοις, ἃ νομίζομεν εἶναι κάλλιστα καὶ συμΦορώτατά σοι, ταῦτα παραινέσοντες.„

„Ἀρχέτω δὲ ὁ περὶ τῶν δικαίων λόγος. συνέστη τὸ δημοτικὸν ἐπί σοι παροξυνθὲν ὑπὸ τῶν δημάρχων, καὶ ἦκον ὡς ἀποκ]ενῶντές σε ἄκριτον, οἷς Φοβερὸς ἦσθα. τοῦτο τὸ ἔργον ἐκωλύσαμεν ἡμεῖς οἱ ἐκ τοῦ συνεδρίυ, καὶ παρέσχομέν σοι μηθὲν, ὃ μὴ δίκαιον ἦν τότε παθεῖν. μετὰ τᾶτο προὐκαλοῦντό σε οἱ κωλυθέντες ἀνελεῖν [p] ἐπὶ δίκην, αἰτιασάμενοι πονηροὺς εἰπεῖν κατ' αὐτῶν ἐν τῇ βελῇ λόγυς. ἐνέσημεν καὶ πρὸς τοῦτο, ὡς οἶσθα, καὶ ὐκ ἐπετρέψαμεν, ἔτε γνώμης, ἔτε λόγων ὑποσχεῖν σε δίκας. [q] ἀποτυχόντες καὶ τούτου, τελευτῶντες ἦκον ἐΦ' ἡμᾶς, [r] αἰτιώμενοί σε τυραννίδι ἐπιτίθεσθαι. πρὸς ταύτην αὐτὸς ὑπέμεινας ἀπολογήσασθαι τὴν αἰτίαν, ἐπεὶ πάμπολυ ἀπεῖχες αὐτῆς, καὶ παρέσχες τοῖς δημοτικοῖς περὶ σεαυτοῦ τὴν ψῆΦον ἀναλαβεῖν. ἡ βουλὴ δὲ

quibus conditionibus poſtulemus, vt cum plebe in gratiam redeas; praeterea vt iis de rebus te admoneamus, quas et pulcherrimas eſſe, tibique maxime conducere putamus.„

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 ⅔. *Cat.* *V.C.* 266. *Var.* 268.

„Ac primum quidem de iure verba faciamus. Conſpiravit in te plebs a tribunis concitata, teque indemnatum occidere ſunt conati, quibus eras formidabilis. Hoc ne fieret, nos ſenatores prohibuimus, effecimuſque, ne quid contra ius tunc patereris. Poſtea qui te interficere prohibiti ſunt, criminantes te in ſenatu ſibi maledixiſſe, diem tibi dixerunt, qua ad cauſſam dicendam apud populum venires. Hic quoque, vt ſcis, reſtitimus, nec te vel ſententiae dictae, vel orationis habitae, poenas luere paſſi ſumus. Quum hoc quoque fruſtrati fuiſſent, tandem nos adierunt, tibi tyrannidis affectatae crimen obiicientes. ad hoc crimen refellendum ipſe venire non dubitaſti, quod ab eius culpa plurimum aberas, et te plebis iudicio permiſiſti. at tunc

o Ἀπαγγέλλοντες] Ἀπαγγελῶντες *Vat.*

p Ἐπὶ δίκης *Vat.*

q Coniunctio δὲ poſt ἀποτυχόντες videtur deſiderari. *Sylb.*

r Αἰτιώμενοι τυραννίδα. ἐπὶ ταύτην] Αἰτιώμενοί σε τυραννίδι *Vat.*

καὶ τότε παρῆν, καὶ πολλὰς ἐποιεῖτο δεήσεις περί σε. τίνος οὖν ἡμεῖς οἱ πατρίκιοι τῶν συμβεβηκότων κακῶν γεγόναμεν αἴτιοι; καὶ διὰ τί πολεμεῖς ἡμῖν τοσαύτην εὔνοιαν ἀποδειξαμένοις περί σε κατὰ τὸν τότε ἀγῶνα; ἀλλὰ μὴν οὐδὲ τὸ δημοτικὸν ἅπαν ἐξελαθῆναί σε βουλόμενον εὑρέθη. [s] δυσὶ γὰρ ἑάλως ψήφοις μόναις. ὥς' οὐδὲ τούτοις ἂν εἷς σὺν δίκῃ πολέμιος, οἵ σε ὡς οὐδὲν ἀδικοῦντα ἀπέλυσαν. τίθημι δ', εἰ βούλει, πᾶσι μὲν τοῖς δημόταις δόξαν, ὅλῃ δὲ τῇ βουλῇ φανὲν, ταύτῃ χρήσασθαί σε τῇ συμφορᾷ, καὶ δίκαιον εἶναί σε τὸ πρὸς ἅπαντας ἡμᾶς μῖσος· ἀλλ' αἱ γυναῖκές σε, ὦ Μάρκιε, τί δεινὸν εἰργάσαντο, ἀνθ' ὅτου πολεμεῖς αὐταῖς; ποίαν ἐπενέγκασαι περὶ φυγῆς ψῆφον; ἢ τίνας εἰποῦσαι πονηροὺς λόγους; τί δὲ οἱ παῖδες ἡμῶν δράσαντες ἢ [t] διανοηθέντες ἄδικον περί σου, κινδυνεύουσιν ὑπὲρ αἰχμαλωσίας καὶ τῶν ἄλλων, ἃ παθεῖν αὐτοὺς εἰκὸς, ἐὰν ἡ πόλις ἁλῷ; ἀ τὰ δίκαια διαιτᾷς, ὦ Μάρκιε, [u] καὶ,

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 ⅔. *Cat.* 266. *V.C. Var.* 268.

tunc quoque ſenatus adfuit, et tua cauſſa multas preces adhibuit. Cuiuſnam igitur mali, quod tibi acciderit, nos patricii auctores fuimus? et cur nos bello petis, qui tantam erga te beneuolentiam in tua cauſſa periculoque tunc demonſtrauimus? imo ne plebem quidem totam te expulſum voluiſſe ſatis conſtat. duobus enim tantum ſuffragiis damnatus fuiſti. Quare ne his quidem iure hoſtis eſſe potes, qui te vt inſontem abſolverunt. Sed faciamus, ſi libet, te totius plebis et totius ſenatus communi ſententia in hoc infortunium incidiſſe, et tuum in nos omnes odium iuſtum eſſe; quid tamen damni mulieres, Marci, tibi dederunt, vt bellum illis inferres? quod ſuffragium tulerunt, vt in exſilium pellereris? quam malam concionem aduerſus te habuerunt? quod vero facinus iniuſtum noſtri liberi, aut fecerunt, aut cogitarunt contra te, vt nunc illis immineat periculum ſeruitutis, et aliorum malorum, quae, ſi per vim vrbs capiatur, eos paſſuros veriſimile eſt? Non recte ſentis, nec iuſte facis, Marci, qui

s Δυσὶ γὰρ ἑάλως *Vat.*

t Διανοηθέντες ἀδικεῖν περί σε *Vat.*

u *Lapus* pro καὶ non abſurde legit εἰ: *non recte iudicas, ſi eodem modo odiſſe oportere putas.*

εἰ τοῦτον οἴει δεῖν τὸν τρόπον τὰ ὑπαίτια καὶ ἐχθρὰ μισεῖν, ὥστε μηδὲ τῶν ἀναιτίων φείδεσθαι καὶ φίλων, [x] ἐκ ἄρα τὰ προσήκοντα ἀνδρὶ ἀγαθῷ φρονεῖς. ἵνα δὲ ἅπαντα ταῦτα ἀφῶ, τί ἂν ἔχοις εἰπεῖν, ὦ πρὸς Διὸς, εἴ τις ἔροιτό σε, τὰς δὲ δὴ τάφους τῶν προγόνων, τί παθὼν ὑπ' αὐτῶν, ἀνασκάπτεις, καὶ τιμὰς, ἃς νομίζονται παρ' ἀνθρώπων, ἀφαιρῇ; θεῶν δὲ βωμὰς καὶ τεμένη καὶ νεὼς, τίνος ἀδικήματος ὀργῇ συλᾷς καὶ κατακαίεις, καὶ ἀνατρέπεις, καὶ σεβασμῶν ἐκ ἐᾷς τυγχάνειν τῶν νομίμων; τί πρὸς ταῦτα φαίης ἄν; ἐγὼ μὲν γὰρ οὐδὲν ἐρῶ. [y] ταῦτά σοι περί τε ἡμῶν, ὦ Μάρκιε, καὶ τῶν ἐκ τῆς συνεδρίας, καὶ περὶ τῶν ἄλλων πολιτῶν, ἃς ἀπολέσαι προθυμῇ, κακὸν οὐδὲν ὑπ' αὐτῶν πεπονθώς, τάφων τε καὶ ἱερῶν καὶ πόλεως τῆς γειναμένης τε καὶ θρεψαμένης, τὰ δίκαια εἰρήσθω.„

[z] „Ἀφαιρέσει δὲ δὴ πάντας μὲν ἀνθρώπους καὶ τὰς xxv.

qui putas, ita ſontes et inimicos odio perſequendos, vt ne inſontibus quidem et amicis parcatur. Non igitur cogitas, quod virum bonum decet. Sed vt haec omnia omittam, quid, per Iouem, reſpondere poſſes, ſi quis te interrogaret: quanam iniuria a maioribus laceſſitus eorum monumenta euertis, et honores illis ab hominibus delatos eripis? deorum vero aras, delubra, et templa, qua iniuria ab illis accepta offenſus diripis, incendis, ſubuertis, deoſque cultu ſolenni et legitimo priuas? quid ad haec reſpondere poſſes? Equidem nihil video. Atque, quod attinet ad ius, haec et pro nobis, Marci, et pro ſenatu, et pro caeteris ciuibus, quos perdere cupis, nulla iniuria ab illis affectus, et pro ſepulcris, et templis, et vrbe, quae te genuit et educauit, dicta ſint.„

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 ⅔. *Cat.* 266. *V.C. Var.* 268.

„An igitur decebat, omnes homines, et eos, qui nullam tibi

putas. Sylb. Legitima conſtructio poſtulat, vt legamus, ὃς τοῦτον οἴει δεῖν etc. *Lapi* tamen lectio non diſplicet. *Port.*

x Οὐκ ἄρα τὰ προσήκοντα *Vat.* articulus deeſt vulgatis.

y Ταῦτά σοι περί τε ἡμῶν αὐτῶν, ὦ Μάρκιε, etc. *Vat.*

z *Lapus* pro ἀφαιρέσει legit ἀναιρέσει, *euerſione*, quaſi ἀναιρέσεις δίκας δώναι ſit euerti atque deleri ad perſoluendas poenas. Verius forſan ἀμέλει, *nempe, nimirum, ſcilicet. Sylb.*

μηδὲν ἀδικοῦντάς σε, γυναιξὶν ὁμοῦ καὶ τέκνοις δίκας σοι δῶναι προσῆκεν, πάντας δὲ θεούς τε καὶ ἥρωας καὶ δαίμονας, πόλιν τε καὶ χώραν ἀπολαῦσαι τῆς τῶν δημάρχων ἀνοίας, καὶ μηδὲν ἐξαίρετον, μηδὲ ἀτιμώρητον ἀφεῖσθαι μέρος ὑπό σε, ἐχ ἱκανὰς ἤδη παρὰ πάντων εἰσπέπραξαι δίκας, τοσοῦτον μὲν φόνον [a] ἐργασάμενος ἀνθρώπων, τοσαύτην δὲ χώραν πυρὶ καὶ σιδήρῳ λωβησάμενος, τοσαύτας δὲ πόλεις ἐκ βάθρων ἀνασήσας, [b] ἑορτὰς δὲ καὶ θυσίας καὶ σεβασμοὺς [c] θεῶν ἢ δαιμόνων, ὡς ἐν πολλοῖς τόποις ἀνεόρτους ἀναγκάσας γενέσθαι καὶ ἀθύτους, καὶ τιμῶν νομίμων ἀμοίρους; ἐγὼ μὲν [d οὖν"] ἐκ ἠξίουν ἄνδρα, ὅτῳ Φροντὶς ὁποσηοῦν ἀρετῆς ἐστιν, ἅτε [e] συναναιρεῖν τοῖς ἐχθροῖς τὰ φίλια, ἅτε χαλεπὸν ὀργὴν εἶναι καὶ ἀπαραίτητον εἰς τοὺς ἐξαμαρτάνον-

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

tibi iniuriam fecerunt, vna cum ipsis coniugibus et liberis tibi poenas dare, ita vt funditus euerterentur, omnesque deos et heroas et genios, ipsamque rempublicam et agros tribunorum dementiam luere, ita vt nihil exciperetur, et nihil inultum a te relinqueretur? Annon satis poenarum ab omnibus iam exegisti, tanta caede facta, tot agris igne ferroque vastatis, tot vrbibus funditus euersis, tot festis et sacrificiis et deorum gẽniorumque cultibus sublatis, ita vt multis in locis, nec dies festi celebrentur, nec sacrificia fiant, nec diis honores legitimi tribuantur? Equidem existimo indignum viro, cui virtus quantulaecunque curae est, si sine vllo discrimine inimicos et amicos occidat, et grauem atque implacabilem iram gerat in eos, a quibus

a Ἐργασάμενος ἀνθρώπων, τοσαύτην etc. in *Cod. Vat.* vulgo deest vocabulum medium.

b Sensus et legitima verborum sententiarumque connexio lectionem huiusmodi videtur flagitare, ἑορτὰς δὲ ἀνελών, καὶ θυσίας, καὶ σεβασμοὺς θεῶν, ἢ δαιμόνων, ὡς ἐν πολλοῖς τόποις ἀνεόρτους ἠνάγκασας γενέσθαι, καὶ ἀθύτους etc. i. e. *Et sublatis solennitatibus, et sacrificiis, et cultibus Deorum et Geniorum, quos multis in locis sine solennitatibus et sine sacrificiis esse coëgisti, et quos legitimis ac debitis honoribus fraudasti. Port.*

c Θεᾶ καὶ δαιμονίων *Vat.*

d Non agnoscit *Vat.*

e Συναιρεῖν] Συναναιρεῖν optime in *Cod. Vat.* quo modo legendum esse docuit *Sylb.*

f Vox

τάς τι περὶ αὐτὸν, ἄλλως τε καὶ δίκας παρ' αὐτῶν εἰληφότα πολλὰς καὶ μεγάλας. ἃ μὲν ἔν ἀπολογεῖσθαί τε περὶ ἡμῶν αὐτῶν εἴχομεν, καὶ παραιτεῖσθαί σε περὶ τῶν δημοτικῶν, ταῦτά ἐστιν. ἃ δὲ [f] ὑποτίθεσθαί σοι δι' εὔνοιαν οἱ τιμιώτατοι [g] φίλων ἥκοντες καὶ ὑπισχνεῖσθαι διαλλατ]ομένῳ πρὸς τὴν πατρίδα, ταυτί· [h] ἐν ᾧ τὸ δύνασθαί σοι μάλιστα ὑπάρχει, καὶ [i] τὸ θεῖον ἔτι συλλαμβάνει, μετριάσαι, καὶ ταμιεύσασθαι τὴν τύχην, ἐνθυμηθέντα, ὅτι μεταβολῆς ἔχεται πάντα τὰ πράγματα, καὶ οὐδὲν ἐπὶ τῶν αὐτῶν φιλεῖ διαμένειν· νεμεσᾶταί τε ἅπαντα ὑπὸ θεῶν τὰ ὑπερέχοντα, ὅταν εἰς ἄκρον ἐπιφανείας ἀφίκηται, καὶ τρέπεται πάλιν εἰς τὸ μηδέν· μάλιστα δὲ τοῦτο πάσχει τὰ σκληρὰ καὶ μεγάλαυχα φρονήματα καὶ τοὺς ὅρους ἐκβαίνοντα τῆς ἀνθρωπίνης φύσεως. ὑπάρχει δέ σοι νῦν πάντων κράτιστα καταλύ-

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

bus aliqua iniuria fuerit affectus, praesertim vero, si saepius poenas de illis easque acerbas sumserit. Haec igitur sunt, quae attulimus, tum vt nos ipsos purgemus, tum vt pro plebe te deprecemur. De quibus vero honoratissimi quique te beneuolentiae caussa summo studio monent, et quae tibi in gratiam cum patria redeunti pollicentur, haec sunt. Qua in re maxime potes, et in qua numen diuinum tibi fauet, in ea moderate te geras, et fortunae beneficia prudenter dispenses, cogitans, res omnes esse mutabiles, et nihil vnquam in eodem statu permanere solere: quidquid enim excellit, quando ad summum claritatis fastigium euasit, indignationem deorum effugere nequit, et rursus ad nihilum redigitur. Hoc autem potissimum accidit saeuis ac superbis ingeniis, quae humanae naturae terminos transgrediuntur. Nunc autem tibi honestissimis conditionibus

f Vox ὑποτίθεσθαι, vt et mox ὑπισχνεῖσθαι, pendet ab ἔχουσι subintellecto. *Port.*

g *Lapis* pro φιλονεικοῦντες videtur legisse φιλονεικοῦμεν. *Sylb.* In *Cod. Vat.* τιμιώτατοι φίλων ἥκοντες.

h Illud ἐν ᾧ accipiendum videtur pro ἐν ὅσῳ χρόνῳ. *Sylb.*

i Τὸ θεῖον ἔτι συλλ. *Vat.* quo modo et *Sylb.* hoc sensu: *dum maximae tibi vires suppetunt, et deus adhuc fauet, suademus iram moderari et fortuna parcius vti.* vulgo legitur τὸ θεῖον ὅ, τι συλλ.

k Τῶν

σασθαι τὸν πόλεμον. ἥ τε γὰρ βουλὴ πᾶσα ὥρμηται τὴν κάθοδον ψηφίσασθαί σοι, καὶ ὁ δῆμος ἕτοιμός ἐστι νόμῳ κυρωθέντι λῦσαι τὴν ἀειφυγίαν. τί οὖν ἔτι κωλύει σε τὰς ἡδίστας καὶ τιμιωτάτας ὄψεις [k] τῶν ἀναγκαιοτάτων σωμάτων ἀπολαβεῖν, καὶ κεκομίσθαι τὴν περιμάχητον πατρίδα, ἄρχειν τε, ὥσπερ σοι προσῆκεν, ἀρχόντων, καὶ ἡγεῖσθαι ἡγεμόνων, παισί τε καὶ ἐγγόνοις μέγιστον αὔχημα καταλιπεῖν; τούτων μέντοι τῶν ὑποσχέσεων ἡμεῖς ἐγγυηταὶ πασῶν ἐσμεν, ὡς [l] αὐτίκα μάλα γενησομένων. νῦν μὲν γὰρ οὐχὶ καλῶς εἶχε ψηφίσασθαί σοι τὴν βουλὴν ἢ τὸν δῆμον ὑφὲν ἐπιεικὲς ἢ μέτριον, ἕως ἀντιπαρεσκευασμένους ἡμῖν, καὶ τὰ πολεμίων ἔδρας ἔργα; εἰ δ' ἀποσαίης τῶν ὅπλων, ἥξει σοι τὸ περὶ τῆς καθόδου ψήφισμα φερόμενον ὑφ' ἡμῶν ἐκ εἰς μακράν.„

„Ἀγαθὰ μὲν δὴ ταῦτα ὑπάρξει σοι διαλλαττομένῳ· μένοντι δ' ἐπὶ τῆς ὀργῆς, καὶ μὴ διαλυομένῳ τὸ μῖσος πρὸς ἡμᾶς, πολλὰ καὶ χαλεπὰ, ἐξ ὧν ἐγὼ δύο

tionibus bellum deponere licet. Nam et totus ſenatus ad decernendum tibi reditum, et populus ad perpetui exſilii multam lege ſancita abrogandam eſt paratus. Quid igitur vetat te ſuauiſſimo cariſſimoque neceſſariorum tuorum conſpectu iterum frui, et patriam exoptandam recuperare, et imperare, vt te decet, imperantibus, et duces ducere, et liberis nepotibuſque maximam gloriam relinquere? Atque horum omnium promiſſorum, mox mox praeſtandorum, nos tibi ſponſores ſumus. Nunc enim non deceret ex ſenatuſconſulto, aut plebiſcito, tibi quidquam aequi, aut moderati decerni, dum caſtra contra nos poſita habes, et te hoſtiliter geris. quod ſi ab armis diſceſſeris, decretum de reditu tibi a nobis breui afferetur.„

„Atque haec ſunt bona, quae habiturus es, ſi cum patria in gratiam redieris. Quod ſi iraſci pergas, nec odium contra nos conceptum deponas, in multa et grauia incides mala, quorum

Per. Iul. 4228. Ante Chr. 486. Olymp. 73 2/3. Cat. V.C. 266. Var. 268.

k τῶν ἀναγκαιοτάτων σωμάτων *Vat.* vulgo τῶν ἀναγκαίων σ.

l Vſitatius αὐτίκα μάλα. *Sylb.*

τὰ μέγιστα νῦν καὶ φανερώτατα ἐρῶ. πρῶτον μὲν, ὅτι δυσκόλως γενέσθαι, μᾶλλον δὲ ἀδυνάτως πράγματος πονηρὸν ἔρωτα ἔχεις, πόλεως τῆς Ῥωμαίων καθελεῖν τὴν ἰσχὺν, καὶ ταῦτα τῶν Οὐολούσκων ὅπλοις· ἔπειθ', ὅτι σοι κατορθώσαντί τε καὶ ἐπιτυχόντι, πάντων ἀνθρώπων [m] ὑπάρξει δυσυχεστάτῳ νομίζεσθαι. ἐξ ὧν δὲ ταῦτα παρίσταταί μοι φρονεῖν περί σε, ἄκουσον, ὦ Μάρκιε, μηδὲν πρὸς τὴν ἐλευθερίαν μου τῶν λόγων τραχυνόμενος. σκόπει δὲ πρῶτον ὑπὲρ τοῦ ἀδυνάτου. Ῥωμαίοις, ὡς οἶσθα καὶ σὺ, πολλὴ μέν ἐστι νεότης ἐπιχώριος· ἧς εἰ τὸ σασιάζον ἐξαιρεθείη· γενήσεται δὲ τοῦτο κατὰ πολλὴν ἀνάγκην νῦν, διὰ τόνδε τὸν πόλεμον· πάντα γὰρ ὑπὸ δέους κοινοῦ [n] συνίσασθαι φιλεῖ τὰ διάφορα· οὐχ ὅτι Οὐολῦσκοι κρατήσουσιν, ἀλλ' ὑφ' ἄλλο τῶν κατὰ

rum duo, quae maxima et certiſſima ſunt, nunc dicam. Primum, qui rem factu difficilem, imo vero, quae nullo modo fieri poteſt, improbe concupiſti, populi Romani potentiam, idque Volſcorum armis, euertere: deinde, quia, ſi res ſucceſſerit et voti compos fueris, id conſequeris, vt omnium hominum miſerrimus habearis. Cur autem haec mihi in mentem veniunt, vt ita de te ſentiam, audi me, Marci, nec mea dicendi libertate exaſperare. Ac primum conſidera, te rem, quae fieri nequit, aggredi. *Nam* populus Romanus, vt tu ipſe ſcis, multa iuuentute domeſtica abundat, quam (ſi ſeditio ſublata fuerit, quod fiet ob grauem huius belli neceſſitatem; omnes enim, qui inter ſe diſſident, communis periculi metus conciliare ſolet) non ſolum Volſci non vincent, ſed ne vlla quidem alia gens, quae Italiam

Per. Iul. 4228. Ante Chr. 486. Olymp. 73 2/3. Cat. V.C. 266. Var. 268.

m Τπάρξει σοι δυσυχέσατον] Illud σοι poſt ὑπάρξει ſuperfluum viſum eſt *Sylburgio*. Attico more in eadem ſententia geminari exiſtimauit *Caſaub.* Omittitur autem in *Cod. Vat.* vbi legitur ὑπάρξει δυσυχεστάτῳ.

n Magis hic mihi placeret καθίσασθαι, vt alibi dicit κατέση τὰ πράγματα, et καταστάντος τῶ θορύβε. Manente tamen vulgata lectione, non abſurde vertit *Lapus* ad hunc modum: *nam ob communem metum ſtudent diſſidentia omnia conſpirare. Steph.*

o Ἐθνῶν

τὴν Ἰταλίαν [o] ἔθνος ἀθέν. [p] πολλὴ καὶ ἡ Λατίνων καὶ ἡ τῶν ἄλλων [q] συμμάχων ἀποίκων τῆς πόλεως ἰσχύς, ἣν [r] ὀλίγα πᾶσαν ἐπίκαιρον ἦξειν προσδέχα· στρατηγοί τε, οἷος σὺ, καὶ πρεσβύτεροι καὶ νέοι, τοσοῦτοι τὸ πλῆθος, ὅσοι παρὰ πάσαις ἂν εἰσὶ ταῖς ἄλλαις πόλεσι. μεγίστη δὲ πασῶν βοήθεια, καὶ τὰς ἐν τοῖς δεινοῖς ἐλπίδας ἀδέποτε ἡμῶν ψευσαμένη, συμπάσης τ' ἀμείνων ἀνθρωπίνης ἰσχύος, ἡ παρὰ τῶν θεῶν εὔνοια, [s] δι' ἃς ἀ μόνον ἐλευθέραν εἰς τόδε χρόνα τὴν πόλιν ταύτην οἰκοῦμεν, ὀγδόην ἤδη τὴν νῦν γενεάν, ἀλλὰ καὶ εὐδαίμονα, καὶ πολλῶν ἐθνῶν ἄρχουσαν. μὴ δὴ Πεδανοῖς ἡμᾶς εἰκάσῃς, μηδὲ Τολερίνοις, μηδὲ τοῖς ἄλλοις μικροπολίταις, ὧν κατέσχες τὰ πολίχνια· καὶ γὰρ ἥττων ἄν τις σα στρατηγὸς, καὶ ἀπ' ἐλάττονος, ἢ τοσαύτης στρατιᾶς, ὀλιγανθρωπίαν καὶ φαυλότητα

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* 266. *V.C. Var.* 268.

Italiam incolit. Magna quoque est Latinorum et aliorum sociorum nostrae vrbis colonorum potentia, quam totam propemodum nobis auxilio venturam exspecta. Duces vero tui similes, tam seniores, quam iuniores, tot nobis sunt, quot vix in vniuersis aliis populis. Sed longe omnium maximum auxilium, quod nunquam in aduersis spem nostram fefellit, et, quod omnibus humanis viribus est praestantius, est deorum beneuolentia, quorum beneficio ad hoc vsque tempus hanc vrbem, octauam iam aetatem, non solum liberam, sed etiam fortunatam, et multis gentibus imperantem incolimus. Nec nos cum Pedanis, aut Tolerinis, aliisque paruis populis, quorum oppidula occupasti, conferas: nam et alius imperator, te minor, et minoribus instructus copiis, munitiones a paucis defensas et infirmas

o Ἐθνῶν *Vat.*

p Πολλὴ καὶ ἡ Λατίνων ἡ καὶ τῶν ἄλλων *Vat.* [non sic videtur in Vatic. fuisse, sed πολλὴ καὶ ἡ Λατίνων, καὶ ἡ τῶν ἄλλων. posterior articulus a vulgatis abest.]

q Συμμάχων τε καὶ ἀποίκων malit *Gelenius.*

r Cum ὀλίγα vel χρόνα subaudiendum, vel verbum δεῖν. *Sylb.*

s Δι' ἃς agnoscit etiam *Lapi* versio, *per quos.* Sed non minus apte legas δι' ἣν, vt paullo infra v. 26. potest tamen et illa retineri lectio, quia similiter infra legitur διὰ τὰς θεούς. *Sylb.*

t Οἱ

ἐρυμάτων ἐβιάσατο· ἀλλ' ἐνθυμοῦ τὸ μέγεθος τῆς πόλεως, καὶ τὴν λαμπρότητα τῶν ἐν τοῖς πολέμοις πράξεων, καὶ τὴν ἐκ τοῦ θείου παροῦσαν αὐτῇ τύχην, δι' ἣν ἐκ μικρᾶς τοσαύτη γέγονεν· καὶ τὴν σεαυτοῦ δύναμιν, ἣν ἐπάγων ἔργῳ τοσῷδε ἐπιχειρεῖς, μὴ νόμιζε ἠλάχθαι· ἀλλὰ μέμνησο ἀκριβῶς, ὅτι Οὐολόσκων τε καὶ Αἰκανῶν στρατιὰν ἐπάγῃ, ἃς ἡμεῖς οἵδε οἱ νῦν ὄντες ἐν πολλαῖς ἐνικῶμεν μάχαις, ὁσάκις ἡμῖν ἐτόλμησαν εἰς πόλεμον καταστῆναι. ὥστε σὺν τοῖς χείροσιν ἀγωνίζεσθαι μέλλων ἴσθι πρὸς τοὺς κρείττονας, καὶ σὺν τοῖς ἡττωμένοις διὰ παντὸς πρὸς τοὺς νικῶντας ἀεί. εἰ δὲ δὴ τἀναντία τούτων ἦν, ἐκεῖνό γέ τοι θαυμάζειν ἄξιον, πῶς λέληθέ σε πολεμικῶν ὄντα πραγμάτων ἔμπειρον, ὅτι τὸ παρὰ τὰ δεινὰ εὔτολμον οὐκ ἐξ ἴσου παραγίνεσθαι φιλεῖ τοῖς τε ὑπὲρ οἰκείων ἀγαθῶν ἀγωνιζομένοις, καὶ τοῖς ἐπὶ τὰ ἀλλότρια πορευομένοις· [t] οἱ μέν γε ἀδὲν, ἐὰν μὴ κατορθώσωσι, βλάπτονται· τοῖς δ' ἀδὲν, [u] ἐὰν πταίσωσι, καταλείπεται. καὶ τοῦ σφάλλεσθαι τὰς μεγάλας

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* 266. *V.C. Var.* 268.

firmas expugnare potuisset: sed considera vrbis amplitudinem, et rerum bello gestarum splendorem, et numinis diuini fauorem, quo ex parua ad tantam magnitudinem excreuit: tuasque copias, quibus fretus rem tantam aggrederis, ne putes, nunc alias esse factas; sed bene memento, te Volscorum et Aequorum copias ducere, quos nos ipsi, qui nunc viuimus, toties proelio vicimus, quoties in bello nobiscum congredi sunt ausi. Quapropter cum deterioribus aduersus praestantiores, et cum iis, qui perpetuo vincuntur, aduersus eos, qui semper vincere sunt soliti, te certaturum scito. Quod si contra se res haberet, illud tamen mirandum esset, quo modo tu, rei militaris peritus, ignores, in periculis non parem audaciam solere esse in iis, qui pro suis fortunis dimicant, et iis, qui alienas invadunt. nisi enim istis res succedat, leuem cladem accipiunt: illis vero, si rem male gerant, nihil sit reliqui. Atque hinc potissimum

t Οἱ μέν γε, ἐὰν ἀδὲν κατορθώσωσιν, βλάπτονται] Optime in *Cod. Vat.* οἱ μέν γε ἀδὲν, ἐὰν μὴ κατορθώσωσιν, βλάπτονται.

u Ἐὰν πέσωσιν *Vat.*

x Pro

δυνάμεις ὑπὸ τῶν ἐλαττόνων, καὶ τὰς κρείττους ὑπὸ τῶν φαυλοτέρων, τοῦτο ἐν τοῖς μάλιστα αἴτιον ἦν. δεινὴ γὰρ ἡ ἀνάγκη, καὶ ὁ περὶ τῶν ἐσχάτων κίνδυνος ἱκανὸς θάρσος ἐνθεῖναί τινι καὶ μὴ προϋπάρχον φύσει. εἶχον [x] ἔτι πλείω λέγειν ὑπὲρ τοῦ ἀδυνάτου, ἀλλὰ καὶ ταῦτα ἱκανά.

XXVII. „Εἰς ἔτι μοι καταλείπεται λόγος, ὃν εἰ μὴ μετ' ὀργῆς, ἀλλ' ἐκ λογισμοῦ κρινεῖς, ὀρθῶς τ' εἰρῆσθαι δόξει, καὶ παραστήσεταί σοι μεταμέλεια τῶν πραττομένων. τίς δ' ἐστιν οὗτος ὁ λόγος; [y] ἀδενὶ θνητῷ φύντι θεοὶ τῶν μελλόντων ἔσεσθαι βεβαίαν ἐπιστήμην ἔδωκαν ἔχειν, [z] ἀδ' ἂν εὕροις ἐκ τοῦ παντὸς αἰῶνος, ὅτῳ πάντα κατὰ νοῦν ἐχώρησε τὰ πράγματα, μηδὲν ἐναντιωθείσης τῆς τύχης. καὶ διὰ τοῦτο οἱ φρονήσει πρόσχοντες ἑτέρων, ἣν ὁ μακρὸς βίος καὶ τὰ πολλὰ μαθήματα φέρει, πρὶν

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

tissimum fit, vt saepe maiores a minoribus, et praestantiores a deterioribus clade afficiantur. Vehemens enim est necessitas, et extremum periculum etiam ei potest audaciam inserere, cui non sit innata. Plura habui, quae de impossibili dicerem: sed haec dixisse sufficiat.„

„Vnum adhuc mihi dicendum restat, quod, si non cum ira, sed ratione iudicaris, recte dictum putabis, et ad poenitentiam factorum adduceris. quidnam autem illud est? Nulli mortalium dii certam futurorum scientiam dederunt; nec post homines natos inuenias quempiam, cui omnia ex animi sententia successerint, ita vt nulla in re fortuna ei sit aduersata. Propterea homines, qui aliis antecellunt prudentia, quam longa aetas et magna experientia adfert, antequam rem aggrediantur,

x Pro ἔτι in *Ed. Steph.* ὅτι. quod parum huc facit, nisi pro πλείω legas πλεῖστα. *Lapus* praeterita particula vertit, *habui plura. Sylb.*

y Pro καὶ, quod in vulgatis ante ἀδενὶ legitur, aptius legas ὡς, vel ὅτι. quae commutatio apud *Pausaniam* quoque a me annotata est ad p. 410. vt error natus sit e scripturae compendio. *Sylb.*

z Alludere videtur ad *Euripidis* illud, ὡς ὅ τις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ. quod iisdem fere verbis *Nicostratus* dixit οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ. *Sylb.*

a Ἅπαντες

ἐγχειρεῖν ὁτῳδήποτε ἔργῳ, τὸ τέλος αὐτῷ πρῶτον οἰόνται δεῖν σκοπεῖν, ἃ θάτερον μόνον, ὃ βέλονται γενέσθαι σφίσιν, ἀλλὰ καὶ τὸ παρὰ γνώμην ἐκβησόμενον· μάλιστα δὲ οἱ τῶν πολέμων ἡγεμόνες, ὅσῳ μειζόνων τε γίνονται πραγμάτων κύριοι, καὶ τὰς αἰτίας τῶν κατορθωμάτων ἢ σφαλμάτων [a] ἅπαντες εἰς αὐτὰς ἀναφέρουσιν. ἔπειτα ἂν μὲν εὕρωσι μηδεμίαν ἐνοῦσαν, ἢ μικρὰς καὶ ὀλίγας ἐν τῷ μὴ κατορθῶσαι βλάβας, ἄπτονται τῶν ἔργων· ἐὰν δὲ πολλὰς καὶ μεγάλας, ἀφίστανται. τοῦτο δὴ καὶ σὺ ποίησον, καὶ σκόπει πρὸ τῶν ἔργων, ἐὰν σφαλῇς κατὰ τὸν πόλεμον, καὶ μὴ πάντα ὑπάρξῃ, τί συμβήσεταί σοι παθεῖν. δι' αἰτίας μὲν ἔσῃ παρὰ τοῖς ὑποδεξαμένοις σαυτὸν, ὡς μείζοσιν ἐπιχειρήσας [b] πράγμασιν, ἢ δυνατοῖς· στρατιᾶς δὲ ἡμετέρας πάλιν ἐκεῖσε ἀφικομένης, καὶ φθειρούσης τὴν ἐκείνων γῆν· ἃ γὰρ ἀνεξόμεθα μὴ ἀντιτιμωρούμενοι τοὺς ἄρξαντας ἡμᾶς κακοποιεῖν· δυοῖν δὲ κἂν ἁμάρτοις θατέρου, ἢ πρὸς αὐτῶν

tur, euentum eius spectandum putant; non alterum tantum, quem sibi ipsi optant, sed eum etiam, qui praeter exspectationem accidere potest: praecipue vero duces bellorum, in quos, quo res maiores eorum potestati permittuntur, *eo magis* felicium, aut infelicium euentuum caussae ab omnibus conferuntur. deinde si nulla, aut leuia, aut pauca damna bellum parum feliciter gestum sequutura videant, tunc demum rem aggrediuntur; sin multa et magna, ab incoepto desistunt. Hoc tu quoque fac, et, antequam rem aggrediaris, considera, si in bello res tibi male successerit, nec omnia, quae speras, consequutus fueris, quid tibi sit euenturum. Accusaberis a tuis hospitibus, quod res aggressus fueris multo maiores, quam quae a te fieri possent: et quum noster exercitus rursus eo veniet, illorumque agrum vastabit, (neque enim illos inultos manere patiemur, qui nos iniuria priores affecerunt) horum alterutrum vitare non poteris, quo minus vel ab illis ipsis, quibus calamitatum

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

a Ἅπαντες ἐπὶ τούτους ἀναφέρουσιν *Vat.* Vulgatam lectionem sequitur *Lapus.*

b Πράγμασιν ἢ ἀδυνάτοις *Vat.*

ἐκείνων, οἷς αἴτιος ἔσῃ συμφορῶν μεγάλων, αἰσχρῶς ἀναιρεθῆναι, ἢ πρὸς ἡμῶν, ὃς ἀποκτενῶν τε καὶ δηλώσομενος ἦλθες· τάχα δ' ἂν ἐκεῖνοι, πρὶν ἐν τῷ παθεῖν τι κακὸν γενέσθαι, διαλύσεις ποιεῖσθαι πρὸς ἡμᾶς ἐπιχειρῆσαντες, ἔνδοτον ἀξιώσειαν ἐπὶ τιμωρίᾳ σε παραδόναι· ὃ πολλοὶ βάρβαροί τε καὶ Ἕλληνες, εἰς τοιαύτας κατασάντες τύχας, ἠναγκάσθησαν ὑπομεῖναι· ἄρά γε μικρὰ καὶ οὐκ ἄξια λόγου ταῦτα εἶναί σοι δοκεῖ, καὶ δέον αὐτῶν ὑπερίδειν, ἢ κακῶν συμπάντων ἔσχατα παθεῖν;»

XXVIII. »Φέρε· ἂν δὲ δὴ κατορθώσῃς, τί ποτε θαυμαστὸν ἔσται σοι καὶ περιμάχητον ἀγαθόν; ἢ τίνας ἐξοίσῃ δόξας; καὶ γὰρ τοῦτο ἐξέτασον. πρῶτον μὲν τῶν φιλτάτων καὶ ἀναγκαιοτάτων ὑπάρξει σοι στερεῖσθαι σωμάτων, μητρὸς ἀθλίας, ἧς γενέσεως καὶ τροφῆς, καὶ τῶν ἄλλων, ὧν ἔσχεν ἐπί σοι πόνων, ὁ καλὰς ἀμοι-

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

tatum magnarum auctor fueris, turpiter interficiaris, vel a nobis, quos interfecturus et in seruitutem redacturus huc venisti. Sed fortasse etiam illi, antequam aliquid mali a nobis patiantur, pacis nobiscum faciendae desiderio, te ad supplicium dedere non dubitabunt: id quod multi, tam barbari, quam Graeci, in talem fortunae statum compulsi, facere coacti fuerunt. Haecine igitur parua et nullius momenti tibi videntur? haeccine adeo contemnenda, vt quaeuis extrema mala perpeti malis?

Age, si res tibi ex voto succesſerit, quodnam admirandum et adeo exoptandum bonum consequeris? quam gloriam inde referes? Nam et hoc considera. Primum quidem carissimis et tibi coniunctissimis priuaberis; matre misera, cui pro partu et educatione, aliisque laboribus, quos tua causſa pertulit, haud praecla-

c Παθεῖν agnoscit etiam *Lapi* versio: *aut esse vltima malorum omnium patienda.* sed sententia videtur aliud verbum requirere, δοκεῖν, νομίζειν, vel simile: nisi forte hunc sensum esse velis: *et spretis illis, extrema subeunda sunt mala. Sylb.*

d Pro ἔτι non absurde legeris ἔσται. *Sylb.* In *Cod. Vat.* τί τὸ θαυμαστόν ἐστί σοι.

e Καὶ

βὰς ἀποδίδως· ἔπειτα γαμετῆς σώφρονος, ἣ διὰ σὸν πόθον ἐν ἐρημίᾳ καὶ χηρείᾳ κάθηται, πᾶσαν ἡμέραν [e] καὶ νύκτα τὰς σὰς ὀδυρομένη φυγάς· πρὸς δὲ τούτοις, τέκνων δυοῖν, οὓς ἐχρῆν ἀγαθῶν προγόνων ὄντας ἀπογόνους, καρπᾶσθαι τὰς ἐκείνων τιμάς, εὐδοξοῦντας ἐν εὐτυχούσῃ τῇ πατρίδι. ὧν ἁπάντων οἰκτρὰς καὶ ἀτυχεῖς ἀναγκασθήσῃ θεωρεῖν καταστροφάς, εἰ τολμήσεις προσάγειν τοῖς τείχεσι τὸν πόλεμον· ὁ γὰρ δὴ φείσονταί τῶν σῶν ἀθενὸς οἱ περὶ τῶν σφετέρων κινδυνεύοντες, καὶ εἰς τὰ ὅμοια κακῶς ὑπό σε πάσχοντες. [f] ἀλλ' εἰς αἰκισμὸς αὐτῶν δεινὲς, καὶ ὕβρεις ἀνηλεεῖς, καὶ πᾶσαν ἄλλην ἰδέαν προπηλακισμοῦ χωρήσασιν, ὑπὸ τῶν συμφορῶν βιαζόμενοι· καὶ τούτων οὐχ οἱ δρῶντες, ἀλλ' ὁ τὴν ἀνάγκην αὐτοῖς ἐπιθεὶς αἴτιος ἔσῃ. [g] ἡδονὰς μὲν δὴ τοιαύτας καρπώσῃ, κατὰ γνώμην χωρήσαντός σοι [h] τὸ ἔργου· ἔπαινον δὲ καὶ ζῆλον καὶ τιμὰς, ὧν ὀρέγεσθαι χρὴ τὸς

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

praeclaram refers gratiam; deinde pudica coniuge, quae tui desiderio in solitudine et viduitate totum diem noctemque tuum deplorat exsilium; praeterea duobus filiis, quos ex bonis natos maioribus, illorum etiam honoribus glorioſe in fortunata patria frui oportebat. Quorum omnium miserum et infelicem vitae exitum spectare cogeris, si copias ad muros ausus fueris admouere. nulli enim tuorum parcent ii, qui suis timent, et qui eodem saeuitiae genere a te tractantur: sed a nullis tormentis, a nullis crudelibus facinoribus, a nullo denique contumeliae genere in eos sibi temperabunt, a suis calamitatibus *ad id* adacti; horumque malorum non ipsi, qui haec facient, sed tu, qui illis hanc necessitatem impones, auctor eris. Atque, si res tibi ex voto succesſerit, has voluptates percipies: laudem vero et aemulationem et honores, qui viris bonis sunt expetendi,

e Καὶ νύκτα σὰς φυγὰς ὀδυρομένη *Vat.*

f Ἀλλ' εἰς αἰκισμὸς αὐτῶν δεινὲς καὶ ὕβρεις in *Cod. Vat.* Vulgatis voc. δεινὲς deest.

g Ἡδονὰς μὲν δὴ τοιαύτας *Vat.* vulgatis δὴ deest.

h Τὸ δὲ ἔργου· ἔπαινον δὲ δὴ καὶ ζῆλον *Vat.*

ἀγαθὰς ἄνδρας, [i] σκόπει ποίας καὶ τίνας· μητροκτόνος κεκλήσῃ καὶ παιδοφόνος, καὶ γυναικὸς ἀλιτήριος· καὶ πατρίδος ἀλάστωρ· καὶ ἔτε θυσιῶν, ἔτε σπονδῶν, ἔτε ἑστίας, ὅπῃ ποτ' ἂν ἀφίκῃ, κοινωνεῖν ἐθελήσει σοι τῶν εὐσεβῶν καὶ δικαίων [k] ἀδεές· αὐτοῖς τ' ἐκ ἔσῃ τίμιος, οἷς εὔνοιαν ἐνδεικνύμενος ταῦτα δρᾷς, ἀλλὰ καρπωσάμενοί τινα [l] ἕκαστος ἐκ τῶν σῶν ἀσεβημάτων ὠφέλειαν, μισήσουσι τὴν αὐθάδειαν τῷ τρόπῳ. ἐῶ γὰρ λέγειν, ὅτι χωρὶς τοῦ μίσους, ὃ παρὰ τῶν ἐπιεικεστάτων ἕξεις, καὶ φθόνος ἀπαντήσεταί σοι πολὺς ἐκ τῶν ἴσων, καὶ φόβος ἐκ τῶν ἡσσόνων, καὶ δι' ἄμφω ταῦτα ἐπιβουλαί, καὶ ἄλλα πολλὰ καὶ χαλεπά, ὅσα εἰκὸς συμπεσεῖν ἀνδρὶ ἐρήμῳ φίλων, καὶ ἐν ξένῃ ὄντι γῇ. τὰς γὰρ δὴ παρὰ θεῶν τε καὶ δαιμόνων ἐπιπεμπομένας τοῖς ἀνόσια καὶ δεινὰ διαπραξαμένοις ἐριννύας ἐῶ, ὑφ' ὧν αἰκιζόμενοι ψυχάς τε καὶ σώματα, κακὸς μὲν διαντλοῦσι βίους, [m] πικρὰς δὲ ὑπομένουσι τελευτάς. ταῦτα ἐνθυμηθείς, ὦ Μάρκιε, μετάγνωθι, καὶ παῦσαι μνησικακῶν τῇ [n] σεαυτοῦ πατρίδι· τύχην τε πάντων αἰτίαν ἡγησάμενος, ὧν πέπονθας πρὸς ἡμῶν, ἢ δέδρακας ἡμᾶς κακῶν, ἄπιθι χαίρων ἐπὶ τὰ οἰκεῖα, [o] καὶ κόμισαι μητρός τε περιβολὰς προσηνεστάτας, καὶ γυναικὸς φιλοφροσύνας ἡδίστας, καὶ τέκνων ἀσπασμοὺς γλυκυτάτους· καὶ σεαυτὸν ἀπόδος ὀφείλημα κάλλιστον τῇ [p] γεννησαμένῃ τε καὶ τηλικοῦτον ἄνδρα παιδευσαμένῃ πατρίδι.„

Τοιαῦτα διεξελθόντος τοῦ Μινυκίου, μικρὸν ἐπισχὼν ὁ Μάρκιος εἶπε· „Σοὶ μὲν, ὦ Μινύκιε, καὶ [q] ὑμῖν τοῖς ἄλλοις τοῖς ἅμα τούτῳ πεμφθεῖσιν ὑπὸ τῆς βουλῆς, φίλος εἰμὶ καὶ πρόθυμος, εἴ τι δύναμαι ποιεῖν ἀγαθὸν, ὅτι μοι καὶ πρότερον, ὅτε πολίτης ὑμέτερος ἦν, καὶ τὰ κοινὰ ἔπραττον, [r] ἐν πολλοῖς· καὶ ἀναγκαίοις ἐγίνεσθε καιροῖς χρήσιμοι, καὶ μετὰ τὴν φυγὴν ἐκ ἀπεστράφητέ με

XXIX.

finem exspectant. Haec igitur considerans, Marci, resipiscas, et iniuriarum a patria acceptarum memoriam deponas; omniumque malorum, quibus a nobis affectus fuisti, aut quibus a te affecti fuimus, culpam in ipsam fortunam reiiciens, laetus domum reuertaris, ad gratissimos matris amplexus, ad vxoris suauissima comitatis officia, ad liberorum dulcissimos amplexus *et salutationes:* et te ipsum pulcherrimum ornamentum patriae debitum, quae te genuit et tantum virum educauit, restituas.„

Per. Iul. 4228. *Ante Chr.* 486. *Olymp.* 73 2/3. *Cat.* *V.C.* 266. *Var.* 268.

πέτειαν· οἱ γὰρ πένητες ἐξέλιπον τὸ πεδίον, ἐπειδὴ τὸν ἄνδρα τόνδε ὀνομασθέντα ἤκουσαν· παραλαμβάνουσι τὴν ὑπατείαν Τίτος [g] Κοΐντιος Καπιτωλῖνος, καὶ Ἄππιος Κλαύδιος Σαβῖνος, ἔτε τὰς φύσεις, ἔτε τὰς προαιρέσεις ἔχοντες ὁμοίας. Ἀππίᾳ μὲν γὰρ ἦν γνώμη, περισπᾶν [h] περὶ τὰς ἔξω στρατείας τὸν ἀργὸν καὶ πένητα δῆμον, ἵνα τῶν τε καθ' ἡμέραν ἀναγκαίων ἐκ τῆς πολεμίας εὐπορῶν τοῖς αὐτῷ πόνοις, ὧν ἐν χρείᾳ μάλιστα ὑπῆρχε, καὶ τὰ συμφέροντα τῇ πόλει διαπρατ[τ]όμενος, ἥκιστα τοῖς ἐκ τῆς συνεδρίας [i] διοικῶσι τὰ κοινὰ δυσμενής τε καὶ χαλεπὸς ᾖ· πολέμου δὲ πᾶσαν ἔσεσθαι πρόφασιν εὔλογον ἀπέφαινεν ἡγεμονίας ἀντιποιουμένῃ πόλει, καὶ ὑπὸ πάντων [k] ἐπιφθονουμένῃ· κατά τε τὸ εἰκὸς τοῖς γεγονόσιν ἤδη τὰ μέλλοντα εἰκάζειν ἠξίου, ἐπιλεγόμενος, ὅσαι ἤδη κινήσεις ἐγένοντο [l] ἐπὶ τῇ πόλει, ὅτι πᾶσαι [m] κατὰ τὰς

Comitiis autem facillime peractis, (pauperes enim confestim e campo discesserunt, audito Appii nomine) consulatum ineunt Titus Quintius Capitolinus et Appius Claudius Sabinus, viri nec ingenio, nec voluntate similes. Nam Appius volebat, externa militia otiosam atque inopem plebem distineri, vt victum quotidianum (cuius inopia maxime laborabat) ex hosticis suis laboribus abunde parans, eaque peragens, quae e republica essent, patribus rempublicam administrantibus minime infensa ac molesta esset. Occasionem vero belli honestam non defuturam dicebat ciuitati imperium sibi vendicanti, et omnium invidia laboranti: et ex praeteritis verisimiliter de futuris coniectare ipsos postulabat, docens, omnes superiores vrbanos motus ob

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 $\frac{3}{4}$. *Cat.* *V.C.* 283. *Var.* 285. *T. Quintio Capitolino et Ap. Claudio Sabino coss. turbae domi.*

g In *Ed. Steph.* [et *Cod. Vat.*] et hic, et alibi, Κοίντος. Sed verae scripturae tum apud Latinos auctores manifesta exstant argumenta, tum eiusdem vestigium est in mendoso nomine Κάτιος apud *Diodorum*, p. 276. *Sylb.*

h Malet forsan aliquis ἐπὶ τὰς ἔξω στρατείας. *Sylb.*

i In *Ed. Steph.* [et *Cod. Vat.*] συνοικῶσι. veriorem lectionem διοικῶσι agnouit etiam *Lapi* versio: *administrantibus remp. Sylb.*

k Malim ἔτι φθονουμένῃ. *Steph.*

l Ἐπὶ posita hic pro ἐν. *Sylb.*

m Forsan μετὰ pro κατὰ reponendum. *Sylb.*

n Ἀνα-

[n] ἀναπαύσεις ἐγένοντο τῶν πολέμων. Κοϊντίῳ δὲ οὐκ ἐδόκει πόλεμον ἐκφέρειν οὐδένα, ἀγαπητὸν ἀποφαίνοντι, εἰ πρὸς τὰς ἀναγκαίας τε καὶ ἔξωθεν ἐπαγομένας κινδύνας καλέμενος ὁ δῆμος εὐπειθὴς γένοιτο, καὶ διδάσκοντι, ὡς, εἰ βίαν προσάξουσι τοῖς μὴ πειθομένοις, εἰς ἀπόνοιαν ἀναγκάσουσιν ἐλθεῖν τὸ δημοτικὸν, ὥσπερ καὶ οἱ πρὸ αὐτῶν ἐποίησαν ὕπατοι· ἐξ ὧν κινδυνεύσειν αὐτὰς [o] δυοῖν θάτερον, ἢ δι' αἵματος καὶ φόνων καταπαῦσαι τὴν στάσιν, ἢ θεραπεύειν αἰσχρῶς ὑπομεῖναι τὸ δημοτικόν. ἦν δ' ἡ τοῦ μηνὸς ἐκείνης ἡγεμονία τῷ Κοϊντίῳ προσήκουσα. ὡς τ' ἀναγκαῖον ἦν τὸν ἕτερον τῶν ὑπάτων μηδὲν ἄκοντος ἐκείνου ποιεῖν. οἱ δὲ περὶ τὸν Πόπλιον [p] δήμαρχοι ἔθεν ἔτι διαμελλήσαντες, τὸν ἐν τῷ πρόσθεν ἐνιαυτῷ ὑ δυνηθέντα ἐπικυρωθῆναι νόμον πάλιν εἰσέφερον, [q] προσγράψαντες αὐτῷ, καὶ τὸ τῶν ἀγορανόμων ἀρχεῖον ἐν ταῖς αὐταῖς [r] ψηφοφορεῖσθαι ἐκκλησίαις, καὶ πάντα τὰ ἄλλα, ὅσα ἐν τῷ δήμῳ πράττεσθαι

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

ob vacationem a bellis ortos. At Quintius nullum bellum cuiquam inferendum censebat, et satis esse demonstrabat, si ad pericula necessaria atque ab aliis illata propulsanda plebs vocata obtemperaret; docebatque, si militiam detractantibus vim attulissent, fore, vt plebem ad desperationem adigerent, vt fecerant coss. superiores: vnde ipsi in periculum e duobus alterum incurrerent; vt vel sanguine caedibusque seditionem compescerent, vel plebem obsequiis parum honestis sibi conciliarent. Erat autem penes Quintium illius mensis imperium. quare alter consul illo inuito nihil facere poterat. At Publius tribunus cum collegis suis, nihil amplius cunctatus, legem, quam superiore anno perferre non potuerat, iterum promulgabat, hoc capite legi addito, vt iisdem comitiis etiam aedilitius magistratus crearetur, et quicquid aliud apud populum agi decerniq[ue]

n Ἀναπαύλας *Vat.*

o Δυεῖν θάτερον *Vat.*

p Ita in *Codd. Rom.* et *Vat.* Δήμαρχον in *Ed. Steph.*

q Προσγράψαντες *Vat.* vulgo προσγράφοντες.

r Ψηφοφορεῖσθαι passim in *Cod. Vat.*

s In

τε καὶ [s] ἐπικυρῶσθαι δεήσει, ὑπὸ τῶν Φυλετῶν ἐπιψηφίζεσθαι [t] κατὰ ταὐτό· ὅπερ ἦν ἄρα τῆς μὲν βουλῆς κατάλυσις φανερὰ, τῷ δὲ δήμῳ δυναστεία.

Τοῦτο μαθοῦσι τοῖς ὑπάτοις φροντὶς εἰσῆει καὶ λόγος, ὅπως ἂν ἐν τάχει καὶ σὺν τῷ ἀσφαλεῖ τὸ παρακινοῦν καὶ [u] τασιάζον [x] ἐξαιρεθῇ. ὁ μὲν δὴν Ἄππιος ἐπὶ τὰ ὅπλα καλεῖν γνώμην ἐδίδου [y] τοὺς βουλομένους σώζεσθαι τὴν πάτριον πολιτείαν· εἰ δέ τινες ἐναντιωθήσονται σφίσι πρὸς τὰ ὅπλα, τούτους ἐν πολεμίων ποιεῖσθαι μοίρᾳ. ὁ δὲ Κοΐντιος λόγῳ πείθειν ᾤετο δεῖν τοὺς δημοτικοὺς, καὶ μεταδιδάσκειν, ὡς δι' ἄγνοιαν τοῦ συμφέροντος εἰς ὀλέθρια βουλεύματα φερομένους· ἐσχάτης μανίας ἔργον εἶναι λέγων, ἃ παρ' ἑκόντων ἔξεστι φέρεσθαι τῶν συμπολιτευομένων, ταῦτα παρ' ἀκόντων βούλεσθαι λαμβάνειν. ἐπ- XLIV. 5 10

que oporteret, tributis comitiis eodem modo decerneretur. Quod nihil aliud erat, quam senatus potentiam aperte abrogare, eamque ad plebem transferre.

Hac re cognita, consules cura et cogitatio subiit, quomodo celeriter et tuto motus seditioque tolli posset. Appius censebat, vocandos ad arma, qui rempublicam saluam vellent; et si qui sibi arma capientibus aduersati fuissent, hos pro hostibus habendos. at Quintius rationibus plebem flectendam censebat, et docendam, eam per ignorantiam rerum vtilium in consilia pernicioſa praecipitem ferri: extremae insaniae esse dicens, ea a suis ciuibus inuitis extorquere, quae a volentibus impetrari possint.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

s In *Ed. Steph.* [et *Cod. Vat.*] est ἐπικυρεῖσθαι: quod agnoscit etiam *Lapi* versio: *agi in plebe, auxilioque esse.* Sed procul dubio vera lectio est ἐπικυρῶσθαι, vt *Gelenius* quoque vertit *decerni:* quod eod. v. est ἐπιψηφίζεσθαι. *Sylb.*

t Κατὰ ταὐτὸ in *Vat.* et *Lapi Cod.* vulgo κατ' αὐτό.

u Deest *Vat.* τό, quod vulgatae interponunt.

x Ἐξαιρεθῇ *Vat.* quod non displicuit *Sylburgio.* vulgatae dant simplex αἱρεθῇ.

y Aptius in *Cod. Vat.* τοὺς βουλομένους: vt non feratur ad proximum verbum ἐδίδου, sed ad remotius καλεῖν. quod notatum etiam *Sylburgio.* sic certe *Lapus* quoque: *volebat vocari ad arma, quicunque salvam esse vellent patriam remp.* vulgatae dant τοῖς βουλομένοις.

z Τῶν

ανεσάντων δὲ καὶ τῶν ἄλλων τῶν [z] συμπαραληφθέντων εἰς τὸ συνέδριον τὴν Κοϊντίᾳ γνώμην, παρελθόντες εἰς τὴν ἀγορὰν οἱ ὕπατοι λόγον ἠτοῦντο παρὰ τῶν δημάρχων καὶ χρόνον. μόλις δ' ἀμφοῖν τυχόντες, ἐπειδὴ καθῆκεν ἣν ἠτήσαντο παρ' αὐτῶν [a] ἡμέραν, ὄχλε παντοδαπῆ συνελήλυθότος εἰς τὴν ἀγορὰν, ὃν ἀμφότεραι παρεσκευάσαντο σύμμαχον ἑαυταῖς ἐκ παρακλήσεως αἱ ἀρχαὶ, παρῆσαν, [b] ὡς κατηγορήσοντες τῆ νόμε. [c] ὁ μὲν ὖν Κοϊντιος, τά τ' ἄλλα ἐπιεικὴς ὢν ἀνὴρ, καὶ δῆμον [d] οἰκειώσασθαι λόγῳ πιθανώτατος, πρῶτος αἰτησάμενος τὸν λόγον, ἐπιδέξιόν τινα καὶ κεχαρισμένην ἅπασι διεξῆλθε δημηγορίαν· ὥστε τὰς ὑπὲρ τῆ νόμε λέγοντας εἰς πολλὴν ἐλθεῖν ἀμηχανίαν, ἔτε δικαιότερα λέγειν ἔχοντας, ἔτ' ἐπιεικέστερα. [e] καὶ εἰ μηδὲν ἔτι πολυπραγμονεῖν ὁ συνύπατος αὐτῆ προείλετο, συγγνὼς ἂν ὁ δῆμος, ὡς ἔτε δίκαια, ἔτε ὅσια ἀξιῶν, ἔλυσε τὸν νόμον. νῦν δ' [f] ὑπ' ἐκείνε λόγον διελθόντος ὑπερήφανον καὶ βαρὺν ἀκεσθῆναι πένησι, χαλεπὸς εἰς ὀργὴν ἐγένετο καὶ ἀμείλικτος,

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

possint. Quum autem caeteri quoque senatores Quintii sententiam laudassent, consules in comitium progressi dicendi copiam diemque a tribunis petierunt. Vtroque autem aegre impetrato, quum dies, quam ab illis petierant, venisset, et varia turba in forum confluxisset, cuius subsidium vtrique magistratus aduocarant ac sibi pararant, prodierunt, vt legem dissuaderent. Quintius igitur, vir omnibus in rebus aequissimus, et populari facundia gratiosissimus, primus, petita dicendi copia, concionem ad rem, de qua agebatur, accommodatam et omnibus gratam habuit: ita vt legis suasores, ad magnam consilii inopiam redacti, nihil vel iustius, vel aequius afferre possent. Et, si collega eius nihil praeterea nimium superbe tentare voluisset, plebs, agnoscens, se, nec iusta, nec aequa postulare, legem eam abrogasset. Iam vero illius oratio, superba et pauperum auribus molesta, plebem vehementer exasperauit et implacabilem reddidit; effecitque, vt ad contentionem, quantam nunquam

z τῶν παραληφθέντων *Vat.*

a Ἡμέρα praefert *Steph.*

b *Gelenius* maluit οἱ κατηγ. sed ὡς retinere nil vetat, hoc sensu: *prodierunt in medium, velut dissuasuri legem. Sylb.*

c [Ὁ μὲν ὖν Κοϊντιος τά τε ἄλλα ἐπιεικὴς ὢν ἀνὴρ, καὶ δῆμον οἰκειώσασθαι λόγῳ πιθανώτατος] Id est: *At Quinctius quidem, vir moderatus, et ad demerendum verbis fauorem populi aptissimus, primus, petita dicendi potestate, praesenti rerum statui conuenientem et gratam omnibus concionem habuit: adeo vt qui legi patrocinabantur, omnino consilii inopes essent, quum nihil vel iustius, vel quod plus moderationis haberet, possent proponere: et sane, si eius collega nihil vltra circa hanc rem moliri voluisset, populus apud se reputans, praeter ius et fas esse, quod petebat, legem illam abrogasset: at contra, quum ille superbam et pauperibus auditu grauem orationem habuisset, acrem populus et implacabilem iram concepit, et magis peruicaciter contendere, quam antea coepit.* Quinetiam addit, quae potissimum tantam iram illi accenderint. *Non enim* (inquit) *tanquam ingenuos et ciues alloquens, qui pro arbitratu legem sancire, vel abrogare valerent, sed velut inter illos, qui honorum minime capaces forent, aut peregrinos, aut qui libertatem non satis certam haberent, potestatem vsurpans,* etc. Obserua autem, illum hic, quemadmodum et in aliis huiusmodi locis, particulis νῦν δὲ vti ἐν ἄρσει, vt quidam loquuti sunt: qui talem sermonem, in quo per particulam εἰ ponitur, quod fieri debuit, et illi redditur νῦν δὲ, opponendo ei, quod fieri debuit, id quod factum contra fuit, appellant λόγον κατὰ θέσιν καὶ ἄρσιν. ideo certe νῦν δὲ in talibus locis reddo ac reddendum censeo *at contra*, vel *sed contra*. Verum quum suspensa ante νῦν δὲ oratio maneat, perperam ante νῦν stigme τελεία, perinde ac si praecedentia sententiam omnino clauderent, ponitur. *Steph.* in *Op. Var.* ad *Dionys.* c. 8. p. 14.

d Fortasse scripserat οἰκειώσασθαι δυναμένῳ λόγῳ πιθανώτατος, aut tale quid: nisi alio superlatiuo (cuiusmodi est δυνατώτατος) vsus erat. *Steph.*

e Καὶ εἰ μηδὲν ἔτι πολυπραγμονεῖν] Placet hunc locum periphrastice interpretari, ad hunc modum: *ac si collega eius maluisset, non nimium satagens, nihil amplius tentare;* vel ita: *non nimium satagere ac nihil amplius tentare maluisset:* dein νῦν δὲ, v. 8. vertere *at contra*, vt in aliis locis quam plurimis. Quin et notandum, quod male hic στιγμὴ τελεία post νόμον posita est: quum suspendat particula εἰ sententiam, et illi respondeat νῦν δὲ. *Steph.*

f Tollenda videtur praepositio ὑπὸ, quod orationis cursum impediat, atque adeo ἀνακόλυθον faciat. *Port.* Illam non agnouisse

καὶ εἰς ἔριν ἦλθεν, ὅσην ἄπω πρότερον. ὁ γὰρ ὡς ἐλευθέροις τε καὶ πολίταις ὁ ἀνὴρ διαλεγόμενος, οἳ τῶ θεῖναι τὸν νόμον ἢ λῦσαι κύριοι ἦσαν, ἀλλ' ὡς ἐν ἀτίμοις, ἢ ξένοις, ἢ μὴ βεβαίως ἔχουσι τὴν ἐλευθερίαν ἐξουσιάζων, πικρὰς καὶ ἀνυπομονήτους ἐποιήσατο κατηγορίας, τῶν τε χρεῶν τὰς ἀποκοπὰς αὐτοῖς ὀνειδίζων, καὶ τῶν ὑπάτων τὴν ἀπόστασιν προφέρων, ὅτε τὰ ἱερὰ σημεῖα ἁρπάσαντες ᾤχοντο ἐκ τῶ στρατοπέδω, φυγὴν ἐπιβαλόντες ἑαυτοῖς ἑκάστου· τάς τε ὅρκους ἀνακαλούμενος, οὓς ὤμοσαν τὰ ὅπλα ἃ περὶ τῆς γενομένης αὐτοῖς γῆς ἀναλαμβάνοντες, οἷς [h] κατ' αὐτῆς ἐκείνης ἐχρήσαντο. τοιγάρτοι θαυμαστὸν οὐδὲν ἔφησεν αὐτοὺς ποιεῖν, εἰ θεοὺς μὲν ἐπιορκήσαντες, ἡγεμόνας δὲ καταλιπόντες, πόλιν δ' ἔρημον εἶναι τὸ καθ' ἑαυτοὺς μέρος ἀφέντες, ἐπὶ δὲ πίστεως συγχύσει, καὶ νόμων ἀνατροπῇ, καὶ πολιτεύματος πατρίου φθορᾷ ποιησάμενοι τὴν κάθοδον, ἃ μετριάζουσιν, οὐδ[g]

χρηστὰς δύνανται πολίτας ἑαυτοὺς παρασχεῖν, ἀλλ' ἀεί τινος ὀρέγονται πλεονεξίας καὶ παρανομίας, τοτὲ μὲν ἀρχὰς ἐξεῖναι σφίσιν ἀξιοῦντες αὐτοὺς [i] ἐφ' ἑαυτῶν ἀποδεικνύναι, [k] καὶ τὰς αὐτὰς ἀνυπευθύνους ποιοῦντες καὶ παναγεῖς· τοτὲ δ' εἰς ἀγῶνας [l] ὑπὲρ τῶν αἰσχίστων καθιστάντες, οὓς αὐτοῖς δόξειε τῶν πατρικίων, [m] καὶ τὰ νόμιμα δικαστήρια, οἷς περὶ θανάτου καὶ φυγῆς [n] ἡ πόλις πρότερον ἔδωκε κρίνειν· μεταφέροντες ἐκ τῆς καθαρωτάτης φυλῆς ἐπὶ τὸν ῥυπαρώτατον ὄχλον· [o] τοτὲ δὲ νόμους

Per. Iul. quam ante, prorumperet: nam ille non, vt ad ingenuos et ciues Romanos, verba faciens, penes quos esset sanciendae vel abrogandae legis arbitrium, sed vt in viles, aut peregrinos, aut quos libertatem satis firmam non haberent, suam potestatem exercens, acerbis et minime ferendis verbis in eos est inuectus, nouas tabulas illis exprobrans, et defectionem a coss. factam obiiciens, quando, raptis signis sacrosanctis, ex castris abierunt se ipsi in * voluntariam fugam dantes; et in memoriam reuocans sacramentum, quo se obstrinxerant, arma pro patria suscipientes, quae in illam conuerterant. Quare dixit, nil mouit eos facere, si, quum periuri in deos fuissent, et duces deseruissent, patriamque, quantum in se fuisset, desolassent, et ad fidem turbandam, et leges euertendas, patriumque reipublicae statum corrumpendum in eam rediissent, se moderate non gerere[n]

rent, nec bonorum ciuium officium praestare possent; sed semper suis cupiditatibus obsequerentur, et plus aequo experterent, modo petentes, vt sibi liceat proprios magistratus de suo ordine, et eosdem nemini obnoxios et sacrosanctos creare; modo quoslibet patricios arbitratu suo in discrimen de rebus turpissimis adducentes, et legitima iudicia, quibus de capitali poena ciuium exsiliique mulcta maiores antehac decerni voluerint, a purissima ciuitatis parte ad sordidissimam turbam transferentes; modo

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

agnouisse videtur *Lapus*, qui vertit: *verum illo percurrente orationem superbam* etc.

* *Al.* in voluntarium exsilium.

g Περιγινομένης αὐτοῖς γῆς *Vat.*

h In *Ed. Steph.* κατὰ τῆς ἐκείνης. sed veriorem lectionem κατ' αὐτῆς ἐκείνης confirmat etiam *Lapi* versio: *quibus aduersus illam ipsam vsi erant. Sylb.*

i Rectius ἀφ' ἑαυτῶν, *ex seipsis*, i. e. *ex suo ipsorum corpore.* sic enim supra, in postulatione huius magistratus, dicit ἐξ ἡμῶν, p. 394. v. 14. et rursum ἐκ τῶν δημοτικῶν, p. 396. v. 15. [edit. Hudſ.] *Sylb.*

k Καὶ ταύτας *Vat.*

l Sequens ἀγώνων [quod vulgatae pone αἰσχίστων addunt,] meo iudicio rectius aberit. *Sylburg.* Ἐσχάτων pro αἰσχίστων legisse videtur *Gelen.* In *Cod. Vat.* ὑπὲρ αἰσχίστων κινδύνων.

m Κατὰ in *Cod. Vat.*

n Pro inclusis, e *Cod. Rom.* repositis, [inclusis nempe in edd. Sylburg. et Hudson. quae verba sunt ἡ πόλις πρότερον ἔδωκε κρίνειν] perperam in *Ed. Steph.* ὁ πάλιν ὡς πρότερον. *Lapus* videtur legisse: οἷς περὶ θανάτου καὶ φυγῆς ἡ πόλις, τὸ πρότερον ἐδόκει (vel potius εἰώθει) κρίνειν. sic enim locum vertit: *per quae ciuitas videbatur prius de morte deque exsilio iudicare. Sylb.* Ex scriptura *Stephanea* hanc lectionem exsculpsit *Portus*: ἐν οἷς περὶ θανάτου καὶ φυγῆς γιγνώσκεται, πάλιν ὤχ ὡς πρότερον· μεταφέροντες, *in quibus de capitali poena exsilioque cognoscitur, iterum contra pristinam consuetudinem a purissima* etc. Optime tamen, vt puto, in *Cod. Vat.* οἷς περὶ θανάτου καὶ φυγῆς ἡ πόλις πρότερον ἐχρῆτο, μεταφ.

o Τοτὲ pro ὁ τὲ (vt in *Ed. Steph.* et *Cod. Vat.*) ex *Cod. Rom.* reposuit *Sylb.*

p Inclusa

εἰσφέροντες οἱ θῆτες καὶ ἀνέσιοι κατὰ τῶν εὐπατριδῶν τυραννικὰς καὶ ἀνοσίας, καὶ οὐδὲ τῷ προβεβλεῦσαι περὶ αὐτῶν ἐξουσίαν τῇ βουλῇ καταλείποντες, ἀλλ' ἀφαιρούμενοι καὶ ταύτην αὐτῆς τὴν τιμὴν, ἣν ἐκ τοῦ παντὸς εἶχεν ἀναμφίλεκτον χρόνου, βασιλευομένης [p] τε καὶ τυραννουμένης τῆς πόλεως. πολλὰ δὲ καὶ ἄλλα τούτοις ὅμοια προσθεὶς, καὶ ἀδενὸς ὅτου πικροῦ πράγματος, ὅτου βλασφήμου ὀνόματος φεισάμενος, τελευτῶν ἐκεῖνον προσέθηκεν ἔτι τὸν λόγον, ἐφ' ᾧ μάλιστα ἡ πληθὺς ἠγανάκτησεν, ὅτι χρόνον οὐδένα παύσεται στασιάζουσα περὶ παντὸς χρήματος ἡ πόλις, ἀλλ' ἀεί τινα καινὴν ἐπὶ παλαιᾷ νοσήσει νόσον, ἕως ἂν ἡ τῶν δημάρχων ἐξουσία διαμένῃ· διδάσκων, ὅτι πράγματος παντὸς πολιτικοῦ καὶ κοινοῦ τὰς ἀρχὰς προσήκει σκοπεῖν, ὅπως εὐσεβεῖς ἔσονται καὶ δίκαιοι. [q] φιλεῖ γὰρ ἐκ μὲν τῶν ἀγαθῶν σπερμάτων [r] χρηστὰς καὶ εὐτυχεῖς γίνεσθαι τὰς καρπούς· ἐκ δὲ τῶν πονηρῶν, κακὰς καὶ ὀλεθρίους.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

modo vero leges tyrannicas et nefarias ipsi homines mercenarii et extorres contra patricios ferentes, ne cognitione quidem earum patribus permissa, vt de illis senatusconsultum facerent, sed hoc quoque honore ipsis erepto, quem citra omnem controversiam semper ab vrbe condita, tum sub regibus, tum sub tyrannis habuerant. multisque aliis huiusmodi additis, et a nulla acerba contumelia nulloque maledicto sibi temperans, postremo illud etiam addidit, quo maxime plebs offensa est, nunquam in ciuitate causas multas dissidiorum defore, sed semper post veterem morbum eam aliquo nouo laboraturam, dum tribunitia potestas durarit; docens, omnium ciuilium ac publicarum rerum initia esse consideranda, operamque dandam, vt pia iustaque sint. Sic enim natura comparatum esse *dicebat*, vt ex bonis seminibus boni

p Inclusa (quae deerant in Ed. *Steph.*) agnoscunt *Codd. Vat. Rom.* atque *Lapi* versio. [Sunt nempe in edd. Sylb. et Hudsn. vncis inclusa haec tria verba τε καὶ τυραννουμένης.]

q Legitima constructio postulat φιλεῖν γὰρ ἔφησεν ἐκ μὲν etc. vel certe dicendum: φιλοῦσι γὰρ ἐκ μὲν τῶν ἀγαθῶν σπερμάτων χρηστοὶ καὶ εὐτυχεῖς γίγνεσθαι καιροὶ, ἐκ δὲ τῶν πονηρῶν κακοὶ καὶ ὀλέθριοι. *Portus.*

r χρηστὰς γίγνεσθαι καὶ εὐτυχεῖς *Vat.*

χεῖς γίνεσθαι τὰς καρπούς· ἐκ δὲ τῶν πονηρῶν, κακὰς καὶ ὀλεθρίους.

„Εἰ μὲν οὖν, ἔφη, ἦδ' ἡ ἀρχὴ μεθ' ὁμονοίας εἰσ- XLV.
ἦλθεν εἰς τὴν πόλιν ἐπὶ τῷ πάντων ἀγαθῷ παροῦσα σὺν οἰωνοῖς τε καὶ ὀτρείαις, πολλῶν ἂν ἡμῖν ἐγίνετο καὶ μεγάλων ἀγαθῶν αἰτία, [s] χαρίτων, ὁμοφροσύνης, εὐνομίας, ἐλπίδων χρηστῶν παρὰ τοῦ δαιμονίου, [t] μυρίων ἄλλων. νῦν δ' ἐπεὶ βία αὐτὴν εἰσήγαγε καὶ παρανομία, καὶ στάσις, καὶ πολέμου δέος ἐμφυλίου, καὶ πάντα τὰ ἔχθιστα ἐν ἀνθρώποις, τί οὖν ἔτι καὶ μέλλει [u] χρηστὸν ἔσεσθαι, ἢ σωτήριον, τοιαύτας λαβούσης τὰς ἀρχάς; ὥστε [x] περίεστιν ἡμῖν ἴασιν καὶ ἀλεξήματα τῶν ἀναβλαστανόντων [y] ἐξ

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

boni et felices fructus proueniant, ex malis mali et pernicioſi.

„Si igitur (inquiebat) hic magistratus pro communi omnium bono per concordiam bonis fausti sique auibus et salua religione in rempublicam introductus fuisset, multorum et magnorum bonorum caussa nobis fuisset, gratiae, concordiae, bonarum legum, bonae spei a numine, et sexcentorum aliorum: nunc vero quoniam violentia, iniquitas, seditio, et belli intestini metus, et caetera, quae hominibus sunt maxime abominanda, eum inuexerunt, quid boni salutarisue amplius ab eo, qui talia habuerit initia, sperandum est? Itaque superuacaneum est nobis, curationem et remedia malorum inde pullulantium quaerere, quaecunque ibi suam sententia clausulam haberet. *Steph.*

s Distinctionem ante χαρίτων agnoscit etiam *Lapi* versio. quamquam vel haec ipsa vox, vel praecedens ἀγαθῶν, sine vllo sensus detrimento, abesse posse mihi quidem videtur; vt etiam *Gelenius* eam praeteriit. *Sylb.*

t Μυρίων ἄλλων. νῦν δὲ ἐπεὶ] Quum praecedant εἰ μὲν οὖν ἦδε ἡ ἀρχὴ, et sequantur haec, quae velut ἀνταπόδοσις sunt, νῦν δὲ ἐπεὶ βία αὐτὴν εἰσήγαγε καὶ παρανομία, etc. perperam ita interpungitur post ἄλλων, ac si

u χρηστὸν ἐξ αὐτῆς ἔσεσθαι *Dionysium* scripsisse suspicatur *Steph.* χρηστὸν ἔσεσθαι ποτὲ ἢ σωτ. *Vat.*

x *Gelenius* περίεστιν accipit pro περίεργόν ἐστιν. sed forsan negatiue legendum ὐ περίεστιν. *Sylb.* Videntur (inquit *Steph.*) interpretes male reddere περίεστι, *superuacancum est.* tanquam neget hic faciendum, quod contra facere suadet; vt doceo in quodam meorum *Schediasmatum.*

y Ἐξ αὐτῶν] ἐξ αὐτῆς κακῶν *Vat.*

αὐτῆς κακῶν ζητεῖν, ὁπόσα εἰς ἀνθρώπινον πίπτει λογισμὸν, μενάσης ἔτι τῆς πονηρᾶς ῥίζης. ἀ γὰρ ἔσαι πέρας, ἀδ' ἀπαλλαγὴ τῶν δαιμονίων χόλων, ἕως ἂν ἥδ' ἡ Βάσκανος ἐριννὺς καὶ [z] Φαγέδαινα ἐγκαθημένη πάντα σήπῃ καὶ διαφθείρῃ τὰ καλά. ἀλλ' ὑπὲρ μὲν τούτων ἕτερος ἔσαι λόγος καὶ καιρὸς ἐπιτηδειότερος· νῦν δ' ἐπὶ τὰ παρόντα εὖ τίθεσθαι χρὴ, πᾶσαν εἰρωνείαν ἀφεὶς, τάδε ὑμῖν λέγω· ἔτε ὅδε ὁ νόμος, ἔτ' ἄλλος ἀδεὶς, ὃν ἀχ ἡ βελὴ προβελεύσει, κύριος ἐπὶ τῆς ἐμῆς ὑπατείας γενήσεται, ἀλλὰ καὶ λόγοις ἀγωνιῶμαι περὶ τῆς ἀριστοκρατίας, κἂν εἰς τὰ ἔργα δέῃ χωρεῖν, [a] ἀδ' ἐν τούτῳ τῶν ἐναντιωμένων λελείψομαι· καὶ εἰ μὴ πρότερον ἔγνωτε, ὅσην ἰσχὺν ἔχει τὸ τῶν ὑπάτων κράτος, ἐπὶ τῆς ἐμῆς ἀρχῆς μαθήσεσθε.„

"Ἀππιος μὲν [b] δὴ" ταῦτα εἶπεν. ἐκ δὲ τῶν δημάρχων ὁ πρεσβύτατος καὶ πλείστε ἀξιώματος τυγχάνων,

XLVI. quaecunque poteſt excogitare humana ratio, peſſima radice adhuc manente. Nullus enim diuinae irae finis erit, nec ea vnquam liberabimur, donec iſta inuida Furia et Phagedaena *in ciuitate* commorans omnia honeſta putrefaciet et corrumpet. Sed de his alias dicetur opportunius. nunc vero quoniam praeſenti rerum ſtatui recte eſt conſulendum, omni diſſimulatione omiſſa haec vobis dicam; nec iſta lex, nec vlla alia, de qua ſenatus ante non cognorit atque ſuum conſultum fecerit, me conſule rata fiet: ſed et dictis optimates defendam, et factis (ſi opus fuerit) nulla in re aduerſariis cedam. Et ſi ante ignoraſtis, quanta eſſet conſularis imperii poteſtas, me conſule diſcetis.„

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

Appius igitur tunc ita eſt loquutus. Poſt eum C. Lectorius, tribunorum natu et dignitate maximus, vir bello

Vat. ſcil. ἐξ αὐτῆς τῆς δημάρχων ἐξουσίας, vt placuit etiam *Sylburgio.*

z Vide *Annott.*

a Forſan rectius ἀδὲν τῶν τούτοις ἐναντιωμένων λελείψομαι. *Lapus* omiſit genitiuum τούτων, vt ſatis declarat verſio: *nihil relinquam aduerſantibus. Sylb.* In *Cod. Vat.* ἀδὲν τούτοις τῶν ἐναντ.

b Deeſt *Vat.*

Γάϊος [c] Λεκτώριος, ἀνὴρ ἔν τε τοῖς πολέμοις ἐγνωσμένος εἶναι ψυχὴν ἀ κακὸς, καὶ τὰ πολιτικὰ πράττειν ἐκ ἀδύνατος, ἀνίσαται πρὸς ταῦτα ἀπολογησόμενος· καὶ διῆλθε πολὺν ὑπὲρ τᾶ δήμε λόγον, ἀπὸ τῶν ἄνωθεν ἀρξάμενος· „ὡς πολλὰς μὲν καὶ χαλεπὰς [d] ςρατείας οἱ βλασφημέμενοι πρὸς [e] αὐτᾶ πένητες ἐςρατεύσαντο, ἀ μόνον ἐπὶ τῶν βασιλέων, [f] ὅτε τὴν ἀνάγκην ἄν τις ἠτιάσατο, ἀλλὰ καὶ μετὰ τὴν ἐκείνων ἐκβολὴν ἐλευθερίαν κτώμενοι τῇ πατρίδι καὶ ἡγεμονίαν· ἀμοιβὴν δ' ἀδεμίαν ἐκομίσαντο παρὰ τῶν πατρικίων, ἀδ' ἀπέλαυσαν ἀδενὸς τῶν κοινῶν ἀγαθῶν, ἀλλ' ὡς πολέμῳ ἁλόντες ἀφηρέθησαν [g] πρὸς αὐτῶν καὶ τὴν ἐλευθερίαν, ἣν ἀνασώσασθαι βελόμενοι, καταλιπεῖν ἠναγκάσθησαν τὴν πατρίδα πόθῳ γῆς ἑτέρας, ἐν ᾗ τὸ μὴ ὑβρίζεσθαι αὐτοῖς ἐλευθέροις ἔσιν ὑπάρξει· καὶ ἔτε βιασάμενοι τὴν βελὴν, ἔτε πολέμῳ προσαναγκάσαντες, [h] εὗραντο τὴν ἐπὶ τὰ σφέτερα

bello ſpectatae fortitudinis, et ad ciuilia negotia tractanda idoneus, ad haec reſponſurus ſurrexit, et altius rem repetens, multa pro plebe dixit: „inopes, quos maledictis conſul infectatus fuerat, ad multas et graues expeditiones profectos eſſe, non ſolum ſub regibus (quod neceſſitati fortaſſe adſcribi poſſet) ſed etiam poſt illos exactos, dum libertatem imperiumque patriae parant; nullam tamen a patriciis remunerationem accepiſſe, nec vllius communis boni participes factos fuiſſe, ſed tanquam mancipia libertate etiam ab illis exutos fuiſſe; quam dum vellent recuperare, coactos fuiſſe patriam aliarum ſedium deſiderio relinquere, vbi ipſi, qui erant ingenui, contumelias non paterentur: nec vlla vi ſenatui facta, nec armis illo coacto domum rediiſſe, ſed ei roganti ac oranti, vt

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

c Λαικλώριος *Vat.*

d Στρατιὰς] Magis proprie ςρατείας, vt in *Codd. Rom.* et *Vat.*

e Αὐτᾶ agnoſcit etiam *Lapi* verſio. quod vt *Glareano* ſuſpectum fuit, ita ego quoque non inepte legi poſſe exiſtimarim, πρὸς Ἄππιε. excuſari tamen et

f Ὅτε τὴν ἀνάγκην ἄν τις *Vat.* vulgatis deeſt ἄν.

g Ὑπ' αὐτῶν *Vat.*

h Εὗραντο pro vulg. ἔραντο ſubſtitui e *Cod. Rom. Sylb.* Ἀραντο retinendum cenſet *Portus:*

relatiuum aliquo modo poteſt. *Sylb.*

κάθοδον, ἀξιώσῃ τε καὶ δεομένῃ τὰ ἐκλειφθέντα [i] ἀπολαβεῖν εἴξαντες. τάς τε ὅρκους διεξήει, καὶ τὰς συνθήκας τὰς ἐπὶ τῇ καθόδῳ γενομένας ἀνεκαλεῖτο· ἐν αἷς ἦν ἀμνηστία μὲν [k] τὸ″ πρῶτον πάντων, ἔπειτα ἐξουσία τοῖς πένησιν ἀρχὰς ἀποδεικνύναι, τιμωρὸς μὲν ἐσομένας σφίσιν αὐτοῖς, τοῖς δὲ κατισχύειν βουλομένοις, ἀντιπάλους.„ διεξελθὼν δὲ ταῦτα, τὰς νόμους ἐπεδείκνυτο, ἃς ὁ δῆμος ἐπεκύρωσεν ἐ πρὸ πολλοῦ, [l] τόν τε περὶ τῶν δικαστηρίων τῆς μεταγωγῆς, [m] ὡς ἔδωκεν ἡ βουλὴ τῷ δήμῳ τὴν ἐξουσίαν κρίνειν, ἃς ἂν αὐτοῖς δόξειε τῶν πατρικίων, καὶ τὸν ὑπὲρ τῆς ψηφοφορίας, ὡς οὐκ [n] ἔτι τὴν λοχῖτιν [o] ἐκκλησίαν, ἀλλὰ τὴν κυριάτιν ἐποίει τῶν ψήφων κυρίαν.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat.* *V.C.* 283. *Var.* 285.

vt res suas *in vrbe* relictas reciperent, cessisse. Et iusiurandum commemorauit, et leges reditus *omnibus* in memoriam reuocauit: in quibus erat primum obliuio iniuriarum omnium, deinde pauperibus data potestas creandi magistratus, qui ipsis opem ferrent, et vim afferre volentibus aduersarentur.„ His autem commemoratis, leges ostendit *ac recitauit*, quas plebs non multo ante tulerat, alteram de iudiciis *ad plebem* translatis, vt scilicet senatus potestatem plebi dedisset iudicandi, quoscunque de patriciis vellet; alteram de suffragiis ferendis, vt *idem senatus* non amplius penes centuriata, sed penes curiata comitia suffragia esse voluerit.

Hac

quod ἄρασθαι τὴν κάθοδον significet *reditum suscipere, redire.* In *Cod. Vat.* εὕροντο. quod *Sylburgii* coniecturam firmat.

i Ἀπολαβεῖν *Vat.* vulg. ἀναλαβεῖν.

k Non agnouit *Vat.*

l Ita *Codd. Rom.* et *Vat.* In *Ed. Steph.* τῶν τε, itidemque mox (v. 11.) καὶ τῶν: errore manifesto. *Sylb.*

m Mallem ᾧ, *sc.* νόμῳ: vel δι' ὅ, *qua lege.* sic paullo infra ᾧ οὐκ εἶχε. *Portus.*

n Pro ἔτι in *Ed. Steph.* et *Cod. Vat.* εἶχε. quam lectionem (inquit *Portus*) si sequaris, εἶχε ad praecedens βουλὴ referendum est, vertendumque: *et quod* (senatus) *non haberet comitia centuriata, sed comitia curiata suffragiorum dominam faceret.* Vtrumque (ἔτι et εἶχε) agnouit *Lapi* versio: *non amplius secundum ordines habuerit.* verum εἶχε *Sylburgio* nequaquam ferendum visum est. Optime tamen hoc modo legendum

Διεξελθὼν δὲ τὸν ὑπὲρ τῶ δήμω λόγον, ἐπιστρέψας ἐπὶ τὸν Ἄππιον· „Ἔπειτα σὺ τολμᾷς, εἶπε, λοιδορεῖσθαι τούτοις, δι' ὃς μεγάλη μὲν ἐκ μικρᾶς, ἐπιφανὴς δ' ἐξ ἀδόξου γέγονεν ἡ πόλις; καὶ σασιασὰς ἑτέρους ἀποκαλεῖς, καὶ φυγαδικήν τινα τύχην ὀνειδίζεις, ὥσπερ ἐχ ἁπάντων ἔτι τούτων μεμνημένων [p] τὸ καθ' ὑμᾶς, ὅτι σασιάσαντες οἱ σοὶ πρόγονοι πρὸς τοὺς ἐν τέλει, καὶ τὴν ἑαυτῶν πατρίδα καταλιπόντες, [q] ἐνθάδ' ἱδρύνθησαν ἱκέται; εἰ μὴ ἄρα ὑμεῖς μὲν ἐκλιπόντες τὴν ἑαυτῶν πατρίδα πόθῳ τῆς ἐλευθερίας, καλὸν ἔργον ἐπράτετε· Ῥωμαῖοι δὲ τὰ ὅμοια ὑμῖν δεδρακότες, ἀ καλόν· τολμᾷς δὲ καὶ τὴν τῶν δημάρχων ἐξουσίαν, ὡς ἐπὶ κακῷ παρελθυθεῖαν εἰς τὴν πόλιν, λοιδορεῖν; καὶ πείθεις [r] τούτους καταλῦσαι τὴν τῶν πενήτων ἐπικουρίαν τὴν ἱερὰν καὶ ἀκίνητον καὶ μεγάλαις ἀσφαλισμένην ἐκ θεῶν τε καὶ ἀνθρώπων ἀνάγκαις, ὦ μισοδημότατε καὶ τυραννικώτατε; καὶ ἐδὲ τοῦτ' ἄρα ἐδυ-

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat.* *V.C.* 283. *Var.* 285.

Hac autem oratione pro plebe habita, conuersus ad Appium: „Et tu (inquit) his conuicium facere audes, quorum opera magna ex parua, illustris ex obscura ciuitas est facta? et alios vocas seditiosos, et exsilii fortunam ipsis exprobras; quasi omnes isti non meminerint adhuc id, quod aetate nostra accidit, tuos maiores a primoribus dissidentes sua patria deserta huc venisse supplices? nisi forte vos quidem, vestra patria libertatis desiderio relicta, praeclarum facinus fecistis, Romani vero, qui idem fecerunt, turpe. Audes etiam tribunitiam potestatem vituperare, vt in reipublicae perniciem in vrbem inuectam? et o plebis infensissime hostis, et maxime tyrannici ingenii homo, his suades, vt tollant pauperum auxilium sacrosanctum ac inuiolabile, et magnis necessitatis vinculis, tum a diis, tum ab hominibus confirmatum? Et ne hoc quidem animadvertere

gendum esse censet *Port.* ὃς ἐκ ἔτι, vt ὃς ad νόμος respiciat: hoc sensu: *quae lex non amplius centuriata comitia, sed curiata suffragiorum dominam faciebat.*

o Ἐξουσίαν *Vat.*

p τῶν καθ' ἡμᾶς *Vat.* Τὸ καθ' ὑμᾶς, *id quod apud vos accidit,* malit *Portus.*

q Ἐνθάδ' ἱδρύθησαν *Vat.* vulgo ἔνθα ἱδρ.

r Τουτουὶ *Vat.*

νήθης μαθεῖν, ὅτι τῇ τε βελῇ καὶ τῇ σεαυτοῦ ἀρχῇ ταῦτα λέγων [s] λοιδορεῖς; καὶ γὰρ ἡ βελὴ διανασᾶσα "πᾶσα" πρὸς τοὺς βασιλεῖς, ὧν ἀκέτι τὰς ὑπερηφανίας καὶ τὰς ὕβρεις ὑποφέρειν ἠξίου, τὸ τῶν ὑπάτων ἀρχεῖον κατεσήσατο, καὶ, πρὶν ἐκείνους ἐξελάσαι τῆς πόλεως, ἑτέρους ἐποίησε τῆς βασιλικῆς ἐξουσίας κυρίους. ὥστε ἃ περὶ τῆς δημαρχίας λέγεις, ὡς ἐπὶ κακῷ παρεληλυθυίας, ἐπειδὴ τὴν ἀρχὴν ἀπὸ δικοστασίας ἔλαβε, ταῦτα καὶ κατὰ τῆς ὑπατείας λέγεις. οὐδὲ γὰρ ἐκείνην ἄλλη τις εἰσήγαγε πρόφασις, ἀλλ' ἡ πρὸς τοὺς βασιλεῖς τῶν πατρικίων στάσις. ἀλλὰ τί ταῦτά σοι διαλέγομαι, ὡς χρηστῷ καὶ μετρίῳ πολίτῃ, ὃν ἅπαντες ἴσασιν ὅτι σκαιὸν ὄντα διὰ γένος, καὶ πικρὸν, καὶ μισόδημον, καὶ τὸ θηριῶδες ὑπὸ φύσεως οὐδέποτε ἐξημερῶσαι δυνάμενον; ἀλλ' ἔχ ὁμόσε χωρῶ σοι, τὰ ἔργα ἐπίπροσθεν ποιησάμενος τῶν λόγων, καὶ δείκνυμι, ὅσην ἰσχὺν ὁ δῆμος ἔχων λέληθέ σε, ὃν οὐκ ἠσχύνθης ἀνέσιον καὶ ῥυπαρὸν καλῶν· [u] καὶ ὅσην ἥδε ἡ ἀρχὴ δύναμιν, ἣν σε ὁ νόμος [x] ἐκτρέπεσθαι καὶ εἴκειν

5 10 15

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285.

vertere potuisti, te haec dicentem conuiciari et senatui et tuo ipsius magistratui? nam quum totus senatus, facto dissidio, in reges conspirasset, quorum superbiam et contumelias diutius pati nolebat, consulum magistratum constituit, et, antequam illos ex vrbe pelleret, aliis regiam potestatem tradidit. Itaque quod de plebis tribunatu, vt in perniciem reipublicae in vrbem recepto, dicis, quod discordia natus sit, idem quoque in consulatum dicis. nam ne ille quidem aliunde est ortus, quam ex dissidio patriciorum a regibus facto. Sed cur ego de his tecum loquor, quasi cum bono ac moderato ciue: quem omnes isti sciunt natura saeuum, acerbum, et plebi infestum, et innatam feritatem nullo modo mansuefacere posse? Quin potius, omissis verbis, te factis aggredior, et ostendo tibi, quantam vim plebs habeat tibi nondum notam, quam non te puduit extorrem atque sordidam vocare; et quanta sit huius magistratus potestas, quem venerari et cui

s Λοιδορῇ *Vat.*

t Non agnoscit *Vat.*

u Καὶ ὅσον ἥδε ἡ ἀρχὴ δυνα- μένη, σε ὁ νόμος *Vat.*

x Potius ἐντρέπεσθαι. hinc ἐντροπὴ, *reuerentia.* nisi forte ἐκτρέπεσθαι

ἀναγκάζει; παρεὶς δὲ καὶ αὐτὸς ἅπασαν εἰρωνείαν, ἔργα ἄρξομαι."

Ταῦτ' εἰπὼν, ὅρκον, ὅσπερ μέγιστος αὐτοῖς ἦν, διομοσάμενος, ἢ τὸν νόμον ἐπικυρώσειν, ἢ τῆς ζῆν [y] μεθήσεσθαι, σιωπῆς γενομένης ἐκ τοῦ πλήθους, καὶ ἐναγωνίᾳ προσδοκίας, ἐφ' ᾧ μέλλει δρᾶν, ἐκέλευσε μεταχωρεῖν ἐκ τῆς ἐκκλησίας τὸν Ἄππιον. ὡς δ' οὐκ ἐπείθετο, ἀλλὰ τοὺς ῥαβδούχους παρασησάμενος, [z] καὶ τὸν ὄχλον, ὃν ἦγε παρασκευασάμενος οἴκοθεν, ἀπεμάχετο μὴ παραχωρῆσαι τῆς ἀγορᾶς, σιωπὴν ὑποκηρυξάμενος ὁ Λεκ]ώριος ἀνεῖπεν, ὅτι τὸν ὕπατον εἰς φυλακὴν κελεύουσιν οἱ δήμαρχοι ἄγεσθαι. καὶ ὁ μὲν ὑπηρέτης κελευσθεὶς ὑπ' αὐτοῦ προσῆγεν, ὡς τοῦ σώματος ἐπιληψόμενος. τῶν δὲ ῥαβδούχων ὁ πρῶτος ἐπιτυχὼν, παίων αὐτὸν ἀπήλασε. κραυγῆς δ' ἐκ τῶν παρόντων γενομένης μεγάλης καὶ ἀγανακτήσεως, ἔτι αὐτὸς ὁ [a] Λεκ]ώριος παρακελευ-

5 10 15

XLVIII.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285.

cui cedere te cogunt? Ergo et ipse, omni dissimulatione omissa, rem aggrediar.

Haec loquutus, et iureiurando (quod apud illos maximum erat) iurato, aut se perlaturum legem, aut se vita excessurum, silentio ab omnibus facto, omnibusque in id certamen intentis, ac anxio animo exspectantibus, quidnam ille facturus esset, iussit Appius ex concione excedere. Quo non parente, sed stipante se lictoribus, omnique alia turba, quam domo *ad hoc ipsum* paratam adduxerat, et repugnante, ne foro decederet, Lectorius per praeconem silentio imperato pronunciauit, tribunorum collegium iubere consulem in carcerem duci. ac mox apparitor ab eo iussus eum apprehensurus accessit; at proximus lictor eum pulsatum repulit. Magno autem clamore ab iis, qui aderant, sublato, ipse Lectorius, adhortatus plebem, vt sibi opem

τρέπεσθαι pro ἐντρέπεσθαι positum esse dicas. *Portus.*

y Μεθήσεσθαι *Vat.* quo modo legendum esse coniecerat *Sylb.* vulg. μεταθήσεσθαι.

z Καὶ τὸν ὄχλον, ὃν ἦγε, παρεσκευασμένος *Vat.* vulgatae pone ὄχλον addunt vocabulum ex eo perperam iterato natum, ὅλον.

a Λαιτώριος (vt et mox infra p. 1874. v. 16.) in *Cod. Vat.* at supra p. 1869. v. 1. Λαικ]ώριος.

b Ἠρξατο

σάμενος τοῖς ὄχλοις ἀμύνειν· καὶ οἱ περὶ τὸν Ἄππιον σῖφος ἔχοντες νέων πολὺ καὶ καρτερὸν, ὑφίσανται. καὶ μετὰ τᾶτο λόγοι τε ἀσχήμονες ἐγένοντο εἰς ἀλλήλους, καὶ καταβοαὶ, καὶ σωμάτων ὠθισμοί· καὶ τελευτῶσα εἰς χεῖρας ἀπέσκηψεν ἡ ἔρις, καὶ εἰς λίθων [b] ἤρξαντο προβαίνειν βολάς. ἐπέσχε δὲ ταῦτα, καὶ τᾷ μὴ προσωτέρω χωρῆσαι τὰ δεινὰ [c] Κοΐντιος, ἄτερος τῶν ὑπάτων, αἴτιος ἐγένετο, δεόμενός τε ἁπάντων καὶ λιπαρῶν σὺν τοῖς πρεσβυτάτοις τῶν ἐκ τᾶ συνεδρίᾳ, καὶ εἰς μέσας τὰς ἀψιμαχᾶντας ὠθέμενος. ἦν δὲ καὶ τῆς ἡμέρας τὸ λειπόμενον βραχὺ μέρος· ὥς' ἀκέσιοι ἀπ' ἀλλήλων διελύθησαν. ταῖς δ' ἑξῆς ἡμέραις αἵ τ' ἀρχαὶ ἀλλήλαις ἐνεκάλεν· ὁ μὲν ὕπατος τοῖς δημάρχοις, ὅτι καταλύειν αὐτᾷ τὴν ἀρχὴν ἠξίουν, ἐς τὸ δεσμωτήριον τὸν ὕπατον ἀπάγειν κελεύσαντες· τῷ δὲ ὑπάτῳ οἱ δήμαρχοι, ὡς ἐμβεβληκότι πληγὰς σώμασιν [d] ἱεροῖς, καθωσιωμένοις ὑπὸ τᾶ νόμω· καὶ ὁ Λεκ]ώριος τὰ ἴχνη τῶν πληγῶν εἶχεν ἐπὶ τῆς ὄψεως ἔτι φανερά· ἥ τε πόλις ὅλη διοιδᾶσα καὶ ἀγριαινομένη διεισήκει.

Per. Iul. opem ferret, ad eum iuit: at Appius cum ingenti ac valido iuuenum globo se ei opposuit. Deinde foedae inter eos altercationes, et vociferationes, et corporum protrusiones sunt secutae: et postremo rixa ad manus prorupit, et ad lapidum iactus ventum est. Sed Quintius, alter consul, haec repressit, et, ne malum vlterius progrederetur, effecit, cum senioribus senatoribus omnes rogando et orando, et in mediam pugnantium turbam se coniiciendo. Ipsum quoque diei reliquum spatium breue erat: itaque inuiti diremti sunt. Insequutis diebus magistratus se inuicem accusabant: consul tribunos, quod suum magistratum abrogare voluissent, consulem in carcerem abduci iubentes; tribuni consulem, quod plagas ingessisset iis, quorum corpora lex sacra et sancta esse iubet. et Lectorius manifestas sugillationis notas in facie adhuc habebat; et tota ciuitas dissensionibus et dissidiis efferata erat. Plebs

4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285.

b Ἤρξατο *Vat.*
c Κοίντος *Vat.* vt et paullo post p. 1875. v. 6. et v. 10.
d Ἱεροῖς καὶ καθωσιωμένοις *Vat.*
e Deest

ἔπειτα ὁ μὲν δῆμος ἐφρούρει τὸ Καπιτώλιον ἅμα τοῖς δημάρχοις, ἔτε ἡμέρας, ἔτε νυκ]ὸς ἐκλείπων [e] αὐτᾷ τὴν φυλακήν. ἡ δὲ βουλὴ συνιᾶσα, πολλὴν καὶ ἐπίπονον ἐποιεῖτο ζήτησιν, ὅπως χρὴ παῦσαι τὴν δίχοστασίαν, τᾷ τε κινδύνῳ τὸ μέγεθος ἐνθυμουμένη, καὶ ὅτι [f] οὐδὲ τοῖς ὑπάτοις τὰ αὐτὰ παρεισήκει φρονεῖν. ὁ μὲν γὰρ Κοΐντιος εἴκειν τῷ δήμῳ τὰ μέτρια ἠξίου, ὁ δ' Ἄππιος μέχρι θανάτου ἀντεῖχεν.

Ὡς δ' οὐδὲν ἐγίνετο πέρας, χωρὶς ἑκάστου ἀπολαμβάνων ὁ Κοΐντιος, τούς τε δημάρχους, καὶ τὸν Ἄππιον, ἐδεῖτο καὶ ἐλιπάρει, καὶ τὰ κοινὰ τῶν ἰδίων ἀναγκαιότερα ἡγεῖσθαι ἠξίου. ὁρῶν δὲ τοὺς μὲν ἤδη [g] πεπειροτέρους γεγονότας, τὸν δὲ συνάρχοντα ἐπὶ τῆς αὐτῆς αὐθαδείας μένοντα, πείθει τοὺς ἀμφὶ Λεκ]ώριον, ὑπὲρ ἁπάντων [h] τῶν τ' ἰδίων ἐγκλημάτων καὶ τῶν δημοσίων, τὴν βουλὴν ποιῆσαι κυρίαν. ἐπεὶ δὲ τᾶτο διεπράξατο, συνεκάλει τὴν

XLIX.

Plebs deinde cum tribunis Capitolium occupauit, diurnis nocturnisque id seruans excubiis. Quod vbi senatus cognouit, magna cura quaerebat modum, quo sedaretur haec seditio, sollicitus, tum propter periculi magnitudinem, tum propter consulum dissensionem. Quintius enim plebi non iniqua petenti cedendum censebat; Appius vero ei resistebat, et mori, quam cedere, malebat.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285.

Quumque nullus contentionis fieret finis, Quintius seorsum tribunos, seorsum Appium orabat atque obsecrabat; et, vt priuatis commodis publica anteponerent, postulabat. animadvertens autem, illos iam mitiores factos, collegam vero in sua peruicacia perseuerare, persuasit Lectorio eiusque collegis, vt omnium priuatorum publicorumque criminum cognitionem arbitrio senatus permitterent. Hoc autem impetrato, senatum

conuo-

e Deest *Vat.*
f Οὐδὲ τοῖς ὑπάτοις *Vat.* et *Lapi Cod.* pro primo voc. vulgatae dant οὐδέν.
g Ita in *Rom. Vat.* et *Lapi Cod.* In *Ed. Steph.* ἐμπειροτέρους.
h Τῶν τε ἰδίων *Vat.* quod maluit etiam *Sylb.* vulgatis enim particula copulans deest.

quam lectionem *Gelenius* periphrasi adiuuerat, *experientia sapientiores factos.*

βελὴν, καὶ τὰς δημάρχας πολλὰ ἐπαινέσας, καὶ τῶ συνάρχοντος δεηθεὶς, μὴ ἀντιπράττειν [i] τῇ σωτηρίᾳ τῆς πόλεως, ἐκάλει τὰς εἰωθότας ἀποφαίνεσθαι γνώμας. πρῶτος δὲ κληθεὶς Πόπλιος Οὐαλέριος Ποπλικόλας γνώμην ἀπεφήνατο τήνδε· ὅσα μὲν ἀλλήλοις ἐγκαλῶσιν οἵ τε δήμαρχοι καὶ ὁ ὕπατος, ὑπὲρ ὧν ἔπαθον, ἢ ἔδρασαν ἐν τῇ ταραχῇ, ἐπειδὴ ἐκ ἐξ ἐπιβουλῆς, ἀλλ' οἰκείας [k] πλεονεξίας [l] ἕνεκα εἰς αὐτὰ κατέσηναν, ἀλλ' [m] ὑπὲρ τῆς εἰς τὰ κοινὰ φιλοτιμίας, ἀφεῖσθαι δημοσίᾳ, καὶ μηδεμίαν ὑπὲρ αὐτῶν εἶναι δίκην· περὶ δὲ τῶ νόμω, ἐπειδὴ ὁ ὕπατος Ἄππιος ἐκ ἐᾷ νόμον ἀπροβούλευτον εἰς τὴν ἐκκλησίαν ἐκφέρειν, προβουλεῦσαι περὶ τούτω τὸ συνέδριον· τὰς δὲ δημάρχας ἅμα τοῖς ὑπάτοις ἐπιμέλειαν ποιήσασθαι τῆς τε ὁμονοίας τῶν πολιτῶν, ὅταν ἡ ψῆφος περὶ αὐτῶ διαφέρηται, καὶ τῆς εὐκοσμίας. ἐπαινεσάντων δὲ

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285.

conuocauit, et tribunis multum laudatis, et rogato collega, ne publicae saluti aduersaretur, vocauit eos, qui suam sententiam dicere solebant. Et P. Valerius Poplicola primus rogatus, hanc dixit sententiam: omnia crimina, quae sibi inuicem obiiciebant tribuni et consules, omnes iniurias in tumultu et illatas et acceptas, quod non dolo malo, nec priuatae vtilitatis caussa eo ventum esset, sed per ambitiosam contentionem de republica publice remittendas, nec in vllum iudicium vocandas dixit. Quod vero ad legem attineret, quoniam Appius consul non patiebatur, eam sine senatusconsulto in concione promulgari, de ea ad senatum referendum, atque senatusconsultum faciendum censebat. Caeterum, tribunis vna cum coss. operam dandam, vt concors esset ciuitas, et decorum ac ordo seruaretur in suffragiis ferendis. Hac

i Optime in *Cod. Vat.* τῇ σωτηρίᾳ τῆς πόλεως. quod *Gelenio, Sylburgio* atque *Porto* placuisse video. nam vulgatae dant τὰ σωτήρια.

k Apud *Suidam*: παρὰ δὲ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ, πλεονεξία ἡ νίκη. Forsan hunc locum respexerit.

l In *Cod. Vat.* ἔνεκεν.

m Pro ὑπὲρ non inepte, meo quidem iudicio, reposuerimus ὑπὸ, vt infra alicubi: pro qua praepositione in praecedentibus membris vsurpata ἐξ et ἕνεκα. *Sylb.*

n Κόϊντος

τὴν γνώμην ἁπάντων, εὐθὺς ἀνέδωκε τὴν ὑπὲρ τῶ νόμω ψῆφον ὁ [n] Κοΐντιος τῷ συνεδρίῳ, καὶ πολλὰ μὲν Ἄππίω κατηγορήσαντος, πολλὰ δὲ τῶν δημάρχων ἀντιλεξάντων, ἐνίκα παρὰ πολλὰς ψήφους ἡ τὸν νόμον εἰσφέρειν ἀξιῶσα γνώμη. ἐπικυρωθέντος δὲ τῶ προβουλεύματος, αἵ τ' ἴδιαι τῶν ἀρχόντων διαφοραὶ διελύθησαν, καὶ ὁ δῆμος, ἀγαπητῶς δεξάμενος τὸ συγχώρημα τῆς βουλῆς, ἐπεψήφισε τὸν νόμον. ἀπ' ἐκείνω τῶ χρόνω τὰ τῶν δημάρχων καὶ ἀγορανόμων ἀρχαιρέσια μέχρι τῶ καθ' ἡμᾶς χρόνω, δίχα οἰωνῶν τε καὶ τῆς ἄλλης ὀτῇείας ἀπάσης, αἱ φυλετικαὶ ψηφηφορῶσιν ἐκκλησίαι. αὕτη λύσις ἐγένετο τῆς τότε κατασχούσης ταραχῆς τὴν πόλιν.

L. Καὶ μετ' ὀλίγον στρατιὰς ἐδόκει Ῥωμαίοις καταγράφειν, καὶ τοὺς ὑπάτους ἐκπέμπειν ἀμφοτέρους ἐπί τ' Αἰκανοὺς καὶ Οὐολούσκους. δυνάμεις γὰρ [o] ἐξ ἑκατέρων τῶν ἐθνῶν μεγάλας ἐξεληλυθέναι ἠγγέλλοντο, καὶ προνομεύειν τοὺς Ῥωμαίων συμμάχους. παρασκευασθεισῶν δὲ τῶν δυνάμεων σὺν τάχει, Κοΐντιος μὲν Αἰκανοῖς πο-

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat. V.C.* 283. *Var.* 285. *Lex de tributis comitiis.*

Hac sententia ab omnibus probata, confestim Quintius senatores misit in suffragia; et, post multam Appii dissuasionem, multis suffragiis vicit. Factoque senatusconsulto, et priuatae magistratuum discordiae diremtae sunt, et plebs, senatus concessum laeto animo accipiens, legem suo suffragio confirmauit. Ex illo tempore vsque ad nostram aetatem tribunorum atque aedilium creandorum comitia, sine auspiciis et omni alia religione, suffragio tribuum peraguntur. Atque hic fuit illius seditionis in vrbe tunc excitatae finis.

Paullo post Romanis placuit exercitus conscribere, et vtrumque consulem contra Aequos et Volscos emittere. erant enim, qui nunciabant, magnas vtriusque gentis copias egressas esse, et agros sociorum populi Romani populari. Exercitibus igitur celeriter paratis, consules prouincias sortiti sunt, et Quintio bellum

n Κόϊντος *Vat.* vt supra aliquoties, et mox infra.

o Ἐφ' ἑκατέρων τῶν ἐθνῶν ἐξεληλυθέναι ἠγγέλλοντο μεγάλοι *Vat.*

p Εἰς

λεμήσων ὤχετο, Ἄππιος δὲ Οὐολύσκοις, κλήρῳ διαλαχόντες τὰς ἀρχάς. συνέβη δὲ τῶν ὑπάτων ἑκατέρῳ τὰ εἰκότα πάσχειν· ἡ μὲν γὰρ τῷ Κοϊντίῳ προσνεμηθεῖσα στρατιὰ, τὴν ἐπιείκειάν τε καὶ μετριότητα τῆ ἀνδρὸς ἀσπαζομένη, πρόθυμος ἦν [p] εἰς ἅπαντα τὰ ἐπιτατ]όμενα, καὶ τὰ πλεῖστα αὐτοκέλευστος ὑφίστατο κινδυνεύματα, δόξαν τῷ ἡγεμόνι καὶ τιμὴν πρᾶτ]ουσα· καὶ διεξῆλθε πολλὴν τῆς Αἰκανῶν χώρας λεηλατοῦσα, ὁ τολμώντων εἰς χεῖρας ἐλθεῖν τῶν πολεμίων· ἐξ ἧς λάφυρα πολλὰ καὶ ὠφελείας μεγάλας ἐκ]ήσατο. χρόνον δ' ὀ πολὺν ἐν τῇ πολεμίᾳ διατρίψασα, παρῆν εἰς τὴν πόλιν ἀπαθὴς κακῶν, λαμπρὸν ἐπὶ τοῖς ἔργοις [q] τὸν στρατηγὸν ἄγουσα. ἡ δὲ τῷ Ἀππίῳ συνεξελθοῦσα δύναμις, μίσει τῷ πρὸς αὐτὸν, πολλὰ ὑπερεῖδε τῶν πατρίων. τά τε γὰρ ἄλλα ἐθελοκακοῦσα ἐν ὅλῃ τῇ [r] στρατείᾳ, καὶ ὀλιγωρῆσα τοῦ ἡγεμόνος διετέλεσε, καὶ ἐπειδὴ μάχεσθαι ἔδει τῇ Οὐολύσκων στρατιᾷ, κατασταθεῖσα ὑπὸ τῶν ἡγεμόνων εἰς τάξιν, ὀκ ἠξίωσε τοῖς πολεμίοις εἰς χεῖρας ἰέναι· ἀλλ' οἵ τε λοχαγοὶ καὶ οἱ πρόμαχοι αὐτῶν, οἱ μὲν τὰ σημεῖα [s] ῥίψαντες, οἱ δὲ τὴν τάξιν ἐγκαταλιπόντες, [t] ἔφευγον ἐπὶ τὸν χάρακα. καὶ εἰ μὴ θαυμάσαντες τὸ παράλογον τῆς φυγῆς αὐτῶν οἱ πολέμιοι, καὶ δείσαντες, μὴ ἐνέδρα τις ἦ, τῆς ἐπὶ πλεῖον διώξεως [u] ἀπετράποντο, τὸ πλεῖον ἂν μέρος τῶν Ῥωμαίων διέφθαρτο. ἐποίησν δὲ ταῦτα φθόνῳ τῷ ἡγεμόνος, ἵνα μὴ, καλὸν ἀγώνισμα ὁ ἀνὴρ διαπραξάμενος, θριάμβῳ τε καὶ ταῖς ἄλλαις ἐπιλαμπρυνθῇ τιμαῖς. τῇ δὲ κατόπιν ἡμέρᾳ τὰ μὲν ἐπιτιμῶντος αὐτοῖς τῷ ὑπάτῳ τῆς ἀδόξου φυγῆς, τὰ δὲ παρακαλοῦντος ἔργον αἴσχιστον ἀναλύσασθαι καλῷ ἀγῶνι, τὰ δ' ἀπειλοῦντος, εἰ μὴ σήσονται [x] παρὰ τὰ δεινὰ, χρήσεσθαι τοῖς νόμοις, ἀπειθείᾳ τε διεχρῶντο καὶ καταβοῇ, καὶ ἀπάγειν σφᾶς ἐκέλευον ἐκ τῆς πολεμίας, ὡς ἀδύνατοι ἔτι ὄντες ὑπὸ τραυμάτων ἀντέχειν.

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 ¾. *Cat.* *V.C.* 283. *Var.* 285.

bellum contra Aequos, Appio contra Volscos obtigit. Vtrique consuli res successit, vt succedere par fuit. Exercitus enim, qui Quintio datus fuerat, lenitatis eius ac aequitatis amore, promptus erat ad omnia imperata facienda, et plurima pericula sponte sua nullo iubente adibat, vt duci suo gloriam et honorem pararet: magnamque Aequorum agri partem praedabundus est peruagatus, hostibus cum ipso congredi non audentibus, vnde multa spolia magnamque praedam partam retulit. nec diu in hostico moratus, incolumis in vrbem rediit, cum duce rebus egregie gestis conspicuo. Qui vero Appii ductu ad bellum profecti sunt, odio, quo eum prosequebantur, multa patriae disciplinae praecepta neglexerunt. Nam et alias toto illius militiae tempore data opera ignauiter rem gesserunt, ducemque semper contemserunt; et quum pugnandum esset cum Volscorum copiis, a ducibus in aciem producti cum hostibus manus conse-

p Εἰς πάντα τὰ *Vat.*

q Τὸν στρατηγὸν *Vat.* vulgatis deest articulus.

r Rectissime in *Cod. Vat.* στρατείᾳ, *expeditione.* nam vulgatae dant στρατιᾷ.

s Inclusa

conferere noluerunt; sed et centuriones et antesignani, alii abiectis signis, alii vero ordinibus desertis, in castra se recepe- runt. et nisi hostes, inopinatam eorum fugam mirati, insidias metuentes, ab ipsis vlterius persequendis abstinuissent, maxima pars Romanorum periisset. Id autem faciebant, quod duci inviderent; ne ille, bello praeclare confecto, triumpho aliisque honoribus decoraretur. Postero autem die, licet consul partim eorum ignominiosam fugam increparet, partim ad eius facinoris ignominiam praeclaro proelio abolendam eos hortaretur, partim ipsis minaretur, nisi in periculis se fortiter gessissent, se legibus vsurum; illi tamen in eadem contumacia perseverabant, et vociferabantur, atque se ex hostico abduci iubebant, quod prae vulneribus amplius *malis* resistere non possent. multi

s Inclusa [in edd. Sylb. et Hudf. haec quinque vocabula ῥίψαντες, οἱ δὲ τὴν τάξιν] e *Cod. Rom.* addita [a Sylburgio] agnoscit etiam *Lapi* versio: *alii signa proiicientes, alii aciem deserentes.* atque adeo sic legendum esse arguunt sequentia p. 1881. v. 2. *Sylb.* Eadem illa omisit *Cod. Vat.* atque etiam *Gelenius* in sua versione.

t Ἦλθον ἐπὶ τὸν χάρακα in *Ed. Steph.*

u Ἀπετράποντο rectius in *Vat.* et *Lapi Cod.* quod agnouit etiam *Sylb.* vulg. ἀνετράπ.

x Alibi habet παρὰ τὰ δεινά. *Sylb.*

κατεδήσαντο γὰρ αὐτῶν οἱ πολλοὶ τὰς ὑγιεῖς χρῶτας, [y] ὡς τραυματίαι. ὥσε ὁ Ἄππιος ἠναγκάσθη ἀπάγειν τὸν στρατὸν ἐκ τῆς πολεμίας· [z] καὶ Οὐολῦσκοι, ἀπιοῦσιν ἐπόμενοι, πολλὰς αὐτῶν ἀπέκτειναν. ὡς δ' ἐν τῇ φιλία ἐγένοντο, συναγαγὼν εἰς ἐκκλησίαν αὐτὰς ὁ ὕπατος, καὶ πολλὰ ὀνειδίσας, ἔφη χρήσεσθαι [a] τῇ" κατὰ τῶν λειποτακτῶν κολάσει. καὶ πολλὰ δεομένων τῶν [b] πρεσβευτῶν καὶ τῶν ἄλλων τῶν ἐν τέλει, μετριάσαι, καὶ μὴ συμφορὰν ἐπὶ συμφορᾷ προσθεῖναι τῇ πόλει, λόγον ὠδενὸς αὐτῶν ποιησάμενος, ἐκύρωσε τὴν κόλασιν. καὶ μετὰ τοῦτο οἱ λοχαγοί τε ὧν οἱ λόχοι ἔφυγον, καὶ οἱ πρόμαχοι τῶν σημείων, ὅσοι τὰ σημεῖα ἀπολωλέκεσαν, οἱ μὲν πελέκει τὰς αὐχένας ἀπεκόπησαν, οἱ δὲ ξύλοις παιόμενοι διεφθάρησαν· ἐκ δὲ τοῦ ἄλλου πλήθους ἀπὸ [c] δε-

Per. Iul. 4245. *Ante Chr.* 469. *Olymp.* 77 3/4. *Cat.* *V.C.* 283. *Var.* 285.

multi enim eorum integras corporis partes quasi saucias obligarant. Itaque Appius exercitum ex hostico deducere coactus est: et Volsci, eos abeuntes sequuti, multos illorum interfecerunt. Vt vero in pacatum agrum ventum est, consul, iis ad concionem conuocatis, multisque exprobratis, se vt in aciei desertores animaduersurum dixit: et quamuis seniores atque alii primores viri, qui minores magistratus in castris gerebant, eum pluribus deprecarentur, et valde orarent, vt moderate ageret, neue publicae cladi aliam nouam calamitatem adderet, ille, spreta eorum oratione, poenam sanciuit. ac mox et centuriones, quorum cohortes fugerant, et antesignani, qui signa amiserant, partim securi percussi sunt, partim caesi fustibus necati sunt: ex reliqua vero multitudine pro aliis decimus quisque miles sorte

κάδος ἑκάστης εἰς ἀνὴρ, ὁ λαχὼν κλήρῳ, πρὸ τῶν ἄλλων ἀπέθνησκεν. αὕτη Ῥωμαίοις πάτριός ἐστι κατὰ τῶν λιπόντων τὰς τάξεις, ἢ προεμένων τὰς [d] σημείας, ἡ κόλασις. καὶ μετὰ ταῦτ' αὐτός τε μισούμενος ὁ στρατηγὸς, καὶ τῆς στρατιᾶς ὅσον ἔτι περιῆν, [e] κατηφὴς καὶ ἄτιμον ἐπαγόμενος, τῶν [f] ἀρχαιρεσίων καθηκόντων, ἀνέστρεψεν εἰς τὴν πατρίδα.

